16 | 20 ἐπὶ δεξιᾷ b: ἐπὶ δεξιὰ F; ἐν δεξιᾷ? H | 21 ἀριστερᾷ] u. p. 132, 6 | 23 αὖ οἱ H: αὐτοὶ οἱ F; 'u. c. 9, 5. 31, 4. 6' H | 24 [ἐς] τὸν α. τ.? E; cf. 107, 2 | τρόπον Scheffer: τόπον F | 27 uu. τοῦ βήματος cancellis saepsit E; cf. p. 134, 25. 135, 13ss. cl. 10. 14 | 28 ἢ τὸ συνεχὲς H: ἢ συνεχεῖς F | καὶ τὸ ἐπάλληλον H: καὶ ἐπαλλήλον F; cf. p. 132, 31 | 29 παρέχονται H: προσδέχονται F | 30 ἐπὶ] ἀπὸ? H | 31 τοιάδε F | 32 ἐκ τῶν ἀριστερῶν] sc. σφῶν: sunt οἱ δεύτερον παριππεύοντες, u. p. 134, 25. 133, 25. 20s. || 134, 1 γίνεται F* | 5 ὁμοῦ μὲν, quae uu. in F praecedunt u. ὥσπερ, post u. περιδινήσει conlocauit Mueller | ante u. ἐξηκόντισεν habet F τὸ ληφθὲν: deleuit ut dittographiam H | 6 τὸ λειφθὲν H: ληφθὲν F; ὑπολειφθὲν? H cl. p. 135, 2. 3. 106, 32 | περιενεγκοῦσα? H; cf. p. 134, 4. 135, 4; 138, 15 | 7 lacunae signa posuit H | 9 σώζεται Mueller*: σώζηται F | καὶ adiecit H, cf. p. 26, 17. 65,

17. 66, 31. Philol. 7 p. 449 | 11 lacunam indicauit H | 14 ξυνεχὲς F* | ἄγαν H: ἅπαν F | 15 ἐμποδῶν F | 16 δίκαιον] u. p. 136, 15 | 19 ξυνεχοῦς F* | 20 σωζομένου F | σῶον F* | 21 ἀποδιδόσθαι
39 F | 25 ποιῶνται Mueller: ποιοῦνται F | 26 ἐγκλίναντες Mueller: ἐγκλίναντας F | 27 [τοὺς ἵππους]? H | ἀπαλλάττονται F* | ἀλλὰ οἱ F | 28 ὑπολείπονται σφίσιν F | ἄκροι] u. p. 136, 7 | 31 αὐτοῦ H: αὐτῶν F; τοῦ ἵππου? τὸ ἀκόντιον? H; cf. p. 136, 12 | 32 ἐξηκόντισαν τὸ ἀκόντιον, ? H: sed potius commate in u. δύο l. 29 distinguendum esse uideatur ‖ p. 135, 2 οἱ δὲ F* | ὑπο-
40 λικόμενοι? | 2 ἐπελάσωσιν H: ἐπελαύνωσιν F | 6 ἐπὶ Mueller: ἐν F | 7 γίνεται F* | δοκεῖ? H | ἔμοιγε F ἐμοίγε H | 8 τοῦτο H: ταύτῃ F; αὔτη? cf. p. 138, 5 | προσεποιήσαντο? H | 9 μὲν [ἢ]? H | 12 τῶν addidit Mueller; a scriptura τῶν ἐκδ. librum F discedere Droysenus non adnotauit: quantum ex mea colligo collatione, in codice F articulus deest | 13 ὥσπερ Mueller: οἵπερ F b | [τὸ]? H | ἐγκλίνοντες H: ἐκκλίνοντες F | 16 ἱππῆς F: ἱππεῖς b | 18 de u. εὐφόροις dubitabat H | 22 ἐγκλίναι F (ἐγκλῖναί τι? H) | 23 τι τοῦ ν.? τὰ νῶτα? H | 25 ἐν τῷδ'? H cl. p. 132, 20 | ἐστιν F | 31 ὡσαύτως b: ὡς αὔτως F | 32 [ἀμέλει]? H ‖ p. 136, 9 [ἄκρον]? H | 10 ἔστ' ἐπὶ Mueller*: ἐστὰδ' ἐπὶ F | ὀφρὺν F | 12 καὶ ἐς τὸ ἀνώμαλον καὶ ἅμα κραδαινόμενα μεθιέναι F: καὶ ἅ. κρ. ἐς τὸ ἀ. H [καὶ] ἐς τὸ ἀ. κ. ἅ. κρ.? E; cf. p. 135, 1. 136, 27; 131, 12 | 14 s. cf. p. 137, 26 | 15 ἐπαινοῖτο Mueller: ἐπαινοῖντο F | 16 προὔβη est in codice F | 18 πλεῖον F* | 20 ἐσκαμμένον] χωρίον additur p. 136,
41 10. 137, 13; u. p. 130, 7 | 23 ὁπλίζονται Scheffer: ὁπλίζων F | 25 ἐξελαύνουσι? H cl. p. 137, 12; ἐπελαύνουσι τοῖς ἵπποις? H cl. p. 137, 2 s.; u. p. 134, 27 | 26 φέροντας Scheffer: φέρων F | 28 ἐπανακτυποῦσαν b H: ἐπανακυπτοῦσαν F (ἐπανακύπτουσαν L. Dindorfius in Thes. St. 3 p. 1406 A) | 32 τῷ ἐ. H: τῷ τε ἐ. F ‖ p. 137, 1 ξὺν F*; ceterum uide A p. 80, 2. 83, 28. T 119, 29. 127, 6. 137, 1. P 101, 9. 103, 17. C 59, 15. 64, 10. 68, 6. 79, 12; 79, 5. J 2, 10. 6, 8. 14. 16, 5. 24, 21, 23. 25, 2. 17. 30, 23. 31, 2. 36, 10. 45, 4; 3, 16. 39, 9. cf. Ellendt ad an. 1 p. 166 s. 312 s. an. 1, 6, 9. 9, 6 bis. 15, 8; 3, 11, 2; 1, 2, 3. 5, 8. 9. 11. 6, 6. 7, 5. 8, 1. 6. 9, 4 cett. rarius occurrit μετὰ c. gen.: C p. 65, 7. 17. J 35, 25. 36, 3. an. 1, 5, 2. 8. 6, 7. 2, 14, 5. 7. 3, 12, 2 cett.; Grundmann. p. 58 | 2 ὀρθῷ H: ὀρθῶς F; u. p. 132,
42 21 | 7 δεκαδάρχην F* | 8 ἡμιολίᾳ H: ἡμιολίω F | 9 οὕτως F* | δεκαδαρχιῶν F ex Droyseni collatione: δεκαδαρχῶν b, F? correxerat H | 10 κλῆσις Scheffer: κλίσις F | 16 πρὸς τοῦ H: πρὸς F | 17 δεξιὰν Mueller: δεξιὰ F | 18 ὃν b: ὃς F | 19 τοῦ inseruit H | ἱστᾶσι H ἱστᾷ F | 20 βολὴ ἢ H: ἡ βολὴ F | 20 εἴ πως H: ὅπως F | 23 ταύτῃ H: τούτῳ F | ἐπείπερ H: ἥπερ F | 24 εὐμαρὲς? H; cf. p. 138, 9 | 26 ἢ, quod adiecerat H, est in F | 27 ἐπιστρέφων? H cl. p. 138, 13 | ὡς ὁ β. H: ὡς β. F | 29 διαφαίνονται H: διαφαίνεται F | 31 ἥτις ἐπέλασις H: ἥτις cum lacuna [illegible] litterarum F |

τῶν H: *ἐν τῶν* F | *λογχων* F ‖ p. **138**, 4 *παλτῶν* H: *πελ*- 43
τῶν F | 7 *δυοῖν* b: *δυεῖν* F | *οἷν* H: *ὧν* F | 9 *ὁ δὲ* F* |
ξυντριβῆναι F* | *οὐ μὴν οὐδὲ* F ex Droyseni collatione: *οὐ
μὲν οὐδὲ* F? b*; *οὐδὲ μὲν οὐδὲ*? H | 10. 15 *κοντοὺς* hic F |
11 *εἰς* F* | 12 *φεύγοντος* Mueller: *φεύγοντας* F | non esse
scribendum *ἐξιξόμενοι* demonstrat u. *ἄλλον* l. 13; cf. l. 16.
20 extr. | *οἱ δὲ* F* | 14 *το κ.* F | 16 *ἐξίκοντο*] i. e. *ὑπερεί-
λιξαν ὡς ἐξιξόμενοι* | 17 *κελτιστὶ* Scheffer: *κελτιστὶσ* F | 18
ἐσ ante u. *ἄλλην* deleuit H | 19 *οἷοίτε*? *οἴονται*? H | 20 *κατα-
κτανεῖν* F* | 21 *τούτῳ* H: *τούτοις* F | 25 *ἐπιδεικνύασι* H |
ἥντινα H: *ἣν τινες* F | 27 *ξυνήθη* F* | 28 *ὁ* ante u. *βασι*- 44
λεὺς adiecit H | 28 *προσεξηῦρεν*? H | 29 *τε* H: *τε ἢ* F | 31
κοντοφόροι ⟨*ἱππεῖς*⟩? H | 32 *ἵππων* H: *ἱππέων* F | *ἐπελαύ-
νοντες*? H ‖ p. **139**, 1 post u. *πολυτρόπους* H deleuit uu. *ἐς
τὰς μάχας ὠφελίμους* | 3 [*ἱππεῦσι*]? H | *Ῥαιτικοὺς* margo
Bigotiana: *ῥετικοὺς* F | 4 *διαπηδᾶν* H: *ἀναπηδᾶν* F | 5 *τει-
χίον* est in codice F | 8 *ἐκ τοῦ β.* H: *ἐκ β.* F | 10 u. p. 132, 4
| 12 *ξυμβαίνειν* F* | 14 *αἰχμά* Plutarchus: *αἰχμή* F | 15 *ἐπιτάρ-
ροθος*] *ἐπιήρανος* A. Nauckius (mél. Gr. R. 1869/74 V); cf. Ter-
pandri fr. 6 in Bergkii Poët. lyr. Gr. (ed. tertiae p. 816) | 17
in extremo libro F (f. 189 verso) *Ἀρριανοῦ τέχνη τακτική* ‖

Addenda

p. X *Ἰνδική*] u. Phot. bibl. 91 p. 68, 1. 41. Arr. an. 5, 5, 1. 5, 6, 8. 6, 16, 5. 6, 28, 6. *Ἰνδικά* Steph. Byz. in u. *Μάσσακα* p. 436, 4 M. | (1, 3) ab hac dialecto ficticia | (1, 15) u. etiam Fraenkel. in libro de hist. Alex. fontibus (ed. Vratislauiae a. 1883) p. 138 adn. Hercher de loco an 5, 1, 6 et Schmiederi obseruatione (II p. 6 b) a me admonitus in huius tamen interpretatione adquieuerat | p. XI extr. (5, 4. 10) u. p. 24, 26. 25, 4. Ellendt. ad an. 1 p. 76. Grundmann. p. 53 | p. XII (5, 9) adde: cf. p. 50, 18 et 49, 22 | p. XII (6, 22) u. Suid. in u. *πολλός* | p. XIII (7, 13) cf. an. 2, 16, 2 | p. XIX (21, 1) *λέλεκται*] nisi forte illa antea interciderunt, falso uidetur Arrianus de p. 9, 6 cogitare | p. XXII (27, 32) u. Ellendt. ad an. 2 p. 181 | p. XXIII (31, 7 s.) u. Suid. in u. *πνιγηρά* | p. XXV (34, 23) *εὔορμα*] adde p. 33, 20 | p. XXXI (44, 23) u. Grundmann. p. 61 ss. | p. XXXIV (49, 22) cf. p. XII (ad 5, 9) | p. XXXVI (51, 15) *ἄγουσι*] u. p. 19, 16. 22, 24. 36, 27. Krueger. ad Arr. an. 2, 16, 3 p. 110 | p. XXXIX (58, 20) hic quoque H scribebat *ἐπεμίγνυν*, quod premere non debui; cf. p. 36, 21. 22. 25 | p. XL (61, 16) *οὐδὲ γὰρ οὐδὲ*] u. Sintenis ad an. 1, 12, 5. Ellendt. 2 p. 220. Grundmann. p. 60. Krueger. Gr. Gr. II § 69, 60 | p. XLI (64, 18) *μέγαν βασιλέα*] u. an. 2, 7, 6 ibique Ellendt. 1 p. 166; 1, 9, 2. 2, 11, 10. p. 73.

6. 13 s. | p. XLII (69, 29) u. p. 86, 24. 62, 16. 63, 20 cl. 43, 16 | p. XLIII (71, 18) ταττέτω P: scribendum τασσέτω | p. XLIV (74, 6) u. Grundmann. p. 52 ss. | p. XLVI (77, 28) ἁλισκομένων] u. Krueger. ad Thuc. 1, 23, 2 | p. XLVII (81, 3) u. Grundmann. p. 58 | p. XLIX (82, 21) εἰσί F | (82, 30) δὲ ὑτεροστάται F teste Droyseno | p. L (84, 11) ἀσπῖσι F | p. LX (105, 27) πᾶν ὅτιπερ F | p. LXII (108, 27) καὶ τὸν F: καὶ edd. | p. LXIII (112, 10) ῥύμη F: ῥώμη b, uolgo | p. LXIV (114, 8) u. p. 117, 10. 43, 30. Ellendt. ad an. 1 p. 44 | p. LXVII (119, 29) συν Ἀ. F | (120, 12) ἔστί τις F | p. LXVIII (121, 31) ἀπὸ gloss. mil. Coisl. | (122, 26) τεσσαρακοντα F | p. LXIX (132, 26) ἐπιδόρυ F | p. LXX (125, 31) πανταχόθεν lex. m. | p. LXXIII (132, 13) τοῦ] p. 21, 16. 32. 54, 19. 25; 17, 5. 18, 5. 51, 15. 52, 4 cett. | p. LXXIV (135, 23) οἵσπερ F teste Droyseno ‖ restituas uelim p. 8, 11 εἴη ἂν τὰ ut est in libris: ἂν operarum culpa intercidit | 9, 27 ἐκεκόσμητο | 13, 31 ἀπ' ὅτων | 17, 17 s. οἳ μὲν .. οἳ δὲ | 22, 32 οὗτοι | 29, 8 τῇ | 32, 27 αἳ δὲ | 34, 11 ἀλλὰ | 34, 25 ἐνθένδε | 37, 11 Ταοῖσιν | 40, 11 τοῖσιν ἀνθρώποισιν | 41, 27 ἀνέχουσαν | 60, 13 ὡς | 71, 18 τασσέτω | 76, 4 ἀγαθὸς | 78, 1 ἐπίβουλον | 80, 22 οἱ ἱππῆς οἱ οἰκεῖοι: idem uitium erat in Schefferi apographo p. 131, 30 (81 Bl.) | 80, 23 ἱππῆς | 86, 9 in margine (2 M.) | 94, 2 Διοσκουριάδα * * | 94, 9—17 [κατὰ — ἔχει] | 107, 7 φέρουσιν | 107, 23 ἐλάσσονος | 108, 33. 118, 20 ἐστὶν | 110, 20 in margine interiore: 20 | 114, 20 ψιλοὺς | 115, 11 ἔκτακτοι | 118, 12 ἐφ' ἑ. | 119, 22 συνωρίσιν | 121, 2 τὴν ἐξ | 123, 28 τὸν | 123, 30 ἐνταχθεὶς | 124, 1 χῶρον | 131, 15 συρραπτοὶ | 146a adde Ἑλλὰς φωνή J 33, 5 ‖

ΑΡΡΙΑΝΟΥ ΙΝΔΙΚΗ

*Τὰ ἔξω τοῦ Ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἔστε
ἐπὶ ποταμὸν Κωφῆνα Ἀστακηνοὶ καὶ Ἀσσακηνοί, ἔθνεα
Ἰνδικά, ἐποικέουσιν. ἀλλὰ οὔτε μεγάλοι τὰ σώματα,* 2
*κατάπερ οἱ ἐντὸς τοῦ Ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ
ὡσαύτως τὸν θυμὸν οὐδὲ μέλανες ὡσαύτως τοῖσι πολ-
λοῖσιν Ἰνδοῖσιν. οὗτοι πάλαι μὲν Ἀσσυρίοισιν ὑπήκοοι* 3
*ἦσαν· ἐπὶ δὲ Μήδοισι Περσέων ἤκουον, καὶ φόρους ἀπέ-
φερον Κύρῳ τῷ Καμβύσεω ἐκ τῆς γῆς σφῶν, οὓς ἔταξε
Κῦρος. Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστίν, ἀλλὰ τῶν* 4
*ἅμα Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τὴν Ἰνδῶν, τυχὸν
μὲν Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν
τοῖσι πολέμοισιν οὕστινας πρὸς Ἰνδοὺς Διόνυσος ἐπο-
λέμησε, τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τοὺς ἐθέλοντας* 5
*τοῖσιν Ἕλλησι συνῴκισε, τήν τε χώρην Νυσαίην ὠνό-
μασεν ἀπὸ τοῦ οὔρεος τῆς Νύσης Διόνυσος, καὶ τὴν πό-
λιν αὐτὴν Νῦσαν. καὶ τὸ οὖρος τὸ πρὸς τῇ πόλι, ὅτου* 6
*ἐν τῇσιν ὑπωρείῃσιν ᾤκισται ἡ Νῦσα, Μηρὸς κληίζεται
ἐπὶ τῇ συμφορῇ ᾗτινι ἐχρήσατο εὐθὺς γενόμενος. ταῦτα* 7
*μὲν οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν, καὶ ἐξηγείσθων
αὐτὰ ὅσοι λόγιοι Ἑλλήνων ἢ βαρβάρων· ἐν Ἀσσακη-* 8
*νοῖσι δὲ Μάσσακα, πόλις μεγάλη, ἵναπερ καὶ τὸ κράτος
τῆς γῆς ἐστι τῆς Ἀσσακίης· καὶ ἄλλη πόλις Πευκελαῗτις,
μεγάλη καὶ αὐτή, οὐ μακρὰν τοῦ Ἰνδοῦ. ταῦτα μὲν ἔξω
τοῦ Ἰνδοῦ ποταμοῦ ᾤκισται πρὸς ἑσπέρην ἔστε ἐπὶ τὸν
Κωφῆνα.*

2 τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, ταῦτά μοι ἔστω ἡ
Ἰνδῶν γῆ, καὶ Ἰνδοὶ οὗτοι ἔστων. οὖροι δὲ τῆς Ἰν-
δῶν γῆς πρὸς μὲν βορέεω ἀνέμου ὁ Ταῦρος τὸ οὖρος.
2 καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ, ἀλλὰ ἄρχε-
ται μὲν ἀπὸ θαλάσσης ὁ Ταῦρος τῆς κατὰ Παμφύλους τε
καὶ Λυκίην καὶ Κίλικας, παρατείνει δὲ ἔστε ἐπὶ τὴν
3 πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν. ἄλλο
δὲ ἄλλῃ καλέεται τὸ οὖρος, τῇ μὲν Παραπάμισος τῇ δὲ
Ἠμωδός· ἄλλῃ δὲ Ἴμαον κληίζεται, καὶ τυχὸν ἄλλα καὶ
4 ἄλλα ἔχει οὐνόματα. Μακεδόνες δὲ οἱ σὺν Ἀλεξάνδρῳ
στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον, ἄλλον τοῦτον
Καύκασον, οὐ τὸν Σκυθικόν, ὡς καὶ τὰ ἐπέκεινα τοῦ
5 Καυκάσου λόγον κατέχειν ὅτι ἐπῆλθεν Ἀλέξανδρος. τὰ
πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείρ-
γει ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἵναπερ αὐτὸς κατὰ
δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ στόματα,
6 κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ συνεχέα, ἀλλὰ ὡς
τὰ τοῦ Νείλου, ὑπ᾽ ὅτων τὸ Δέλτα ποιέεται τὸ Αἰγύπτιον,
ὧδέ τοι καὶ τὸ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς πο-
ταμός, οὐ μεῖον τοῦ Αἰγυπτίου· καὶ τοῦτο Πάταλα τῇ
7 Ἰνδῶν γλώσσῃ καλέεται. τὸ δὲ πρὸς νότου τε ἀνέμου
καὶ μεσαμβρίης αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν
Ἰνδῶν γῆν, καὶ τὰ πρὸς ἕω ἡ αὐτὴ θάλασσα ἀπείργει.
8 τὰ μὲν πρὸς μεσαμβρίης κατὰ Πάταλά τε καὶ τοῦ Ἰν-
δοῦ τὰς ἐκβολὰς ὤφθη πρός τε Ἀλεξάνδρου καὶ Μακε-
δόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω Ἀλέξαν-
9 δρος μὲν οὐκ ἐπῆλθε πρόσω ποταμοῦ Ὑφάσιος, ὀλίγοι
δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγγεω καὶ ἵνα τοῦ
Γάγγεω αἱ ἐκβολαὶ καὶ πόλις Παλίμβοθρα μεγίστη
τῶν Ἰνδικῶν πρὸς τῷ Γάγγῃ.

3 ἐμοὶ δὲ Ἐρατοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλ-
λου ἔστω, ὅτι γῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένει.

οὗτος ἀπὸ τοῦ οὔρεος τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ 2
πηγαί, παρ' αὐτὸν τὸν Ἰνδὸν ποταμὸν ἰόντι ἔστε ἐπὶ
τὴν μεγάλην θάλασσαν καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς μυ-
ρίους σταδίους καὶ τρισχιλίους τὴν πλευρὴν λέγει ἐπέ-
χειν τῆς γῆς τῆς Ἰνδῶν. ταυτῃσὶ δὲ ἀντίπορον πλευ- 3
ρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ οὔρεος παρὰ τὴν ἑῴην θά-
λασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην, ἀλλὰ ἄκρην γὰρ
ἀνέχειν ἐπὶ μέγα ἐς τὸ πέλαγος, ἐς τρισχιλίους στα-
δίους μάλιστα ἀνατείνουσαν τὴν ἄκρην. εἴη ἂν ὦν αὐτῷ
ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς ἕω μυρίους καὶ ἑξακισχι-
λίους σταδίους ἐπέχουσα. τοῦτο μὲν αὐτῷ πλάτος τῆς
Ἰνδῶν γῆς συμβαίνει, μῆκος δὲ τὸ ἀπ' ἑσπέρης ἐπὶ 4
ἕω ἔστε μὲν ἐπὶ πόλιν Παλίμβοθρα μεμετρημένον σχοι-
νίοισι λέγει ἀναγράφειν· καὶ εἶναι γὰρ ὁδὸν βασιληίην.
τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους. τὰ δὲ ἐπέκεινα οὐκ-
έτι ὡσαύτως ἀτρεκέα. φήμας δὲ ὅσοι ἀνέγραψαν, σὺν 5
τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς τὸ πέλαγος ἐς μυρίους σταδίους
μάλιστα ἐπέχειν λέγουσιν· εἶναι ἂν ὦν τὸ μῆκος τῆς
Ἰνδῶν γῆς σταδίων μάλιστα δισμυρίων. Κτησίης δὲ ὁ 6
Κνίδιος τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν
λέγων, οὐδὲ Ὀνησίκριτος, τρίτην μοῖραν τῆς πάσης γῆς.
Νέαρχος δὲ μηνῶν τεσσάρων ὁδὸν τὴν δι' αὐτοῦ τοῦ
πεδίου τῆς Ἰνδῶν γῆς. Μεγασθένεϊ δὲ τὸ ἀπὸ ἀνατο- 7
λέων ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς ὅ τι περ οἱ
ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης μυρίων
καὶ ἑξακισχιλίων σταδίων εἶναι ἵναπερ τὸ βραχύτατον
αὐτοῦ. τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσαμβρίην, τοῦτο δὲ 8
αὐτῷ μῆκος γίνεται, καὶ ἐπέχει τριηκοσίους καὶ δισχι-
λίους καὶ δισμυρίους ἵναπερ τὸ στεινότατον αὐτοῦ.

ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ, ὅσοι οὐδὲ 9
ἐν τῇ πάσῃ Ἀσίῃ. μέγιστοι μὲν ὁ Γάγγης τε καὶ ὁ Ἰνδός,
ὅτου καὶ ἡ γῆ ἐπώνυμος, ἄμφω τοῦ τε Νείλου τοῦ Αἰ-

γυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ, καὶ εἰ ἐς τωὐτὸ
10 *συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες. δοκέειν δὲ ἔμοιγε,*
καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ Νεί-
λου, ἵναπερ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν
Ὑδραώτεα καὶ τὸν Ὕφασιν ἐμβάλλει ἐς τὸν Ἰνδόν, ὡς
καὶ τριήκοντα αὐτῷ σταδίους τὸ πλάτος ταύτῃ εἶναι· καὶ
τυχὸν καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ
ῥέουσιν.

4 *ἀλλὰ οὔ μοι ἀτρεκὲς ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφά-*
σιος ποταμοῦ ἰσχυρίσασθαι, ὅτι οὐ πρόσω τοῦ Ὑφάσιος
2 *ἦλθεν Ἀλέξανδρος. αὐτοῖν δὲ τοῖν μεγίστοιν ποτα-*
μοῖν τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγάθεϊ
πολλόν τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψε, καὶ ὅσοι
3 *ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν· αὐτόν τε γὰρ μέ-*
γαν ἀνίσχειν ἀπὸ τῶν πηγέων, δέκεσθαί τε ἐς ἑωυτὸν τόν
τε Καϊνὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσό-
ανον, πάντας πλωτούς· ἐπὶ δὲ Σῶνόν τε ποταμὸν καὶ Σιτ-
4 *τόκατιν καὶ Σολόματιν, καὶ τούτους πλωτούς· ἐπὶ δὲ*
Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν
καὶ Ὤμαλιν. ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμινάσης τε
μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος
5 *Ἰνδικοῦ τοῦ Μαδυανδινῶν ῥέων, καὶ ἐπὶ τούτοισιν*
Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ Ὀξύμαγις ἐν
τοῖσι Παζάλῃσι καλεομένοισι. καὶ Ἐρρέννυσις δὲ ἐν Μά-
6 *θῃσιν, ἔθνεϊ Ἰνδικῷ, συμβάλλει τῷ Γάγγῃ. τούτων*
λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου ἀπο-
7 *δέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος. εἶναι ὦν τὸ*
εὖρος τῷ Γάγγῃ, ἔνθαπερ αὐτὸς ἑωυτοῦ στεινότατος, ἐς
ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄπο-
πτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τέ ἐστι
8 *καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. τῷ δὲ Ἰνδῷ ἐς*
τωὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοισι παρει-

*ληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρύβῃσι καὶ τὸν Σαράγγην
ἐκ Κηκέων καὶ τὸν Νεῦδρον ἐξ Ἀττακηνῶν, ἐς τὸν Ἀκε-
σίνην ἐμβάλλουσιν. Ὑδάσπης δὲ ἐν Ὀξυδράκῃσιν ἄγων* 9
*ἅμα οἷ τὸν Σίναρον ἐν Ἀρίσπῃσιν ἐς τὸν Ἀκεσίνην ἐκ-
διδοῖ καὶ οὗτος. ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖσι συμβάλ-* 10
*λει τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν
Ἀκεσίνην ἐκδιδοῖ. τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ
τῇ ἐπικλήσι ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ δὴ οὐνόματι
ἐσβάλλει ἐς τὸν Ἰνδόν. Κωφὴν δὲ ἐν Πευκελαΐτιδι,* 11
*ἅμα οἷ ἄγων Μάλαντόν τε καὶ Σόαστον καὶ Γαρροίαν,
ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. κατύπερθε δὲ τούτων Πάρενος* 12
*καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν
Ἰνδόν. Σόανος δὲ ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων ἔρη-
μος ἄλλου ποταμοῦ ἐκδιδοῖ ἐς αὐτόν. καὶ τούτων τοὺς
πολλοὺς Μεγασθένης λέγει ὅτι πλωτοί εἰσιν. οὔκουν* 13
*ἀπιστίην χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγγεω,
μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ
τὸν Νεῖλον. ἐς μέν γε τὸν Νεῖλον οὐδένα ποταμὸν* 14
*ἐκδιδόντα ἴδμεν, ἀλλὰ ἀπ' αὐτοῦ διώρυχας τετμημέ-
νας κατὰ τὴν χώρην τὴν Αἰγυπτίην· ὁ δὲ Ἴστρος* 15
*ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων, δέκεται δὲ πολλοὺς
ποταμούς, ἀλλὰ οὐδὲ πλήθεϊ ἴσους τοῖσιν Ἰνδῶν ποταμοῖ-
σιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγεα ἐκδιδοῦσι, πλωτοὺς
δὲ δὴ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα,
τὸν Ἔνον τε καὶ τὸν Σάον. Ἔνος μὲν ἐν μεθορίῳ τῆς* 16
*Νωρικῶν καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ, ὁ δὲ Σάος
κατὰ Παίονας. ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ πο-
ταμοί, Ταυροῦνος καλέεται. ὅστις δὲ καὶ ἄλλον οἶδε
ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ
πολλούς κου οἶδε.*

τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ 5
μεγάθεος τῶν Ἰνδικῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ

2 ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. ἐπεὶ καὶ ἄλλων πολ-
λῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω
τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν· ἐς τὸν ἑῷόν
τε καὶ μεσαμβρινὸν πόντον, ὥστε τοὺς πάντας ὀκτὼ
καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδικοὶ ποταμοί, ναυσί-
3 ποροι πάντες. ἀλλὰ οὐδὲ Μεγασθένης τὴν πολλὴν δοκέει
μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε δὴ ὅτι πλεῦνα
ἢ οἱ σὺν Ἀλεξάνδρῳ [τῷ Φιλίππου] ἐπῆλθον· συγγε-
νέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλέι τῶν
4 Ἰνδῶν, καὶ Πώρῳ, ἔτι τούτου μέζονι. οὗτος ὦν ὁ Με-
γασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν
5 ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους, ἀλλὰ
Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίης καταστρεψά-
μενον τὴν πολλὴν καὶ ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ
6 ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι, Ἰδάνθυρσον δὲ τὸν
Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης
ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων
7 γῆν κρατέοντα. Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχει-
ρέειν μὲν στέλλεσθαι ἐς Ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέ-
λος ἐπιθεῖναι τοῖσι βουλεύμασιν. ἀλλὰ Ἀλέξανδρον γὰρ
8 στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. καὶ πρὸ Ἀλεξάνδρου
Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει ὡς καὶ τούτου
στρατεύσαντος ἐς Ἰνδοὺς καὶ καταστρεψαμένου Ἰν-
9 δούς, Ἡρακλέος δὲ πέρι οὐ πολλός. Διονύσου μέν γε
τῆς στρατηλασίης καὶ Νῦσα πόλις μνῆμα οὐ φαῦλον,
καὶ ὁ Μηρὸς τὸ οὖρος, καὶ ὁ κισσὸς ὅστις ἐν τῷ οὔρεϊ
τούτῳ φύεται, καὶ αὐτοὶ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ
κυμβάλων στελλόμενοι ἐς τὰς μάχας, καὶ ἐσθὴς αὐτοῖσι
κατάστικτος ἐοῦσα, κατάπερ τοῦ Διονύσου τοῖσι βάκ-
10 χοισιν· Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. ἀλλὰ
τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχει-
ρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν, Μα-

κεδονικὸν δοκέει μοι κόμπασμα, κατάπερ ὦν καὶ τὸν
Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι
προσήκοντα τοῦτον τῷ Καυκάσῳ. καί τι καὶ ἄντρον 11
ἐπιφρασθέντες ἐν Παραπαμισάδῃσι, τοῦτο ἔφασαν
ἐκεῖνο εἶναι τοῦ Προμηθέος τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν
ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. καὶ δὴ καὶ ἐν Σι- 12
βῃσιν, Ἰνδικῷ γένεϊ, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς
Σίβας, ἀπὸ τῆς Ἡρακλέος στρατηλασίης ἔφασκον τοὺς
ὑπολειφθέντας εἶναι τοὺς Σίβας· καὶ γὰρ καὶ σκυτάλην
φορέουσιν οἱ Σίβαι, καὶ τῇσι βουσὶν αὐτῶν ῥόπαλον
ἐπικέκαυται, καὶ τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπά-
λου τοῦ Ἡρακλέος. εἰ δέ τῳ πιστὰ ταῦτα, ἄλλος ἂν 13
οὗτος Ἡρακλέης εἴη, οὐχ ὁ Θηβαῖος ἢ ὁ Τύριος ἢ ὁ
Αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην τὴν οὐ πόρρω
τῆς Ἰνδῶν γῆς ᾠκισμένην μέγας βασιλεύς.

ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου ἐς τὸ μὴ πι- 6
στὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος πο-
ταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν· ἔστε γὰρ ἐπὶ τὸν
Ὕφασιν οἱ τῆς Ἀλεξάνδρου στρατηλασίης μετασχόντες
οὐ πάντῃ ἄπιστοί εἰσιν. ἐπεὶ καὶ τόδε λέγει Μεγα- 2
σθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ οὔ-
νομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ διὰ
τῆς χώρης τῆς Σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποτα-
μοῦ τε καὶ τῆς κρήνης, τὸ δὲ ὕδωρ παρέχεσθαι τοι- 3
όνδε. οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, καὶ οὔτε τι νήχε-
σθαι ἐν αὐτῷ οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς
βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ
ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον. ὕεται δὲ ἡ Ἰνδῶν γῆ 4
τοῦ θέρεος, μάλιστα μὲν τὰ οὔρεα, Παραπάμισός τε καὶ
Ἠμωδὸς καὶ τὸ Ἰμαϊκὸν οὖρος, καὶ ἀπὸ τούτων μεγά-
λοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέουσιν. ὕεται δὲ τοῦ θέ- 5
ρεος καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥστε λιμνάζει τὰ πολλὰ

αὐτῶν. καὶ ἔφυγεν ἡ Ἀλεξάνδρου στρατιὴ ἀπὸ τοῦ
Ἀκεσίνου ποταμοῦ μέσου θέρεος, ὑπερβαλόντος τοῦ
6 ὕδατος ἐς τὰ πεδία. ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηριοῦσθαι
καὶ τοῦ Νείλου τὸ πάθημα, ὅτι οἰκὸς
ὕεσθαι τὰ Αἰθιόπων οὔρεα τοῦ θέρεος, καὶ ἀπ' ἐκείνων
ἐμπιμπλάμενον τὸν Νεῖλον ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας
7 ἐς τὴν γῆν τὴν Αἰγυπτίην. θολερὸς ὦν καὶ οὗτος ῥέει
ἐν τῇδε τῇ ὥρῃ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκομένης ἔρρεεν,
οὔτε εἰ πρὸς τῶν ὥρῃ θέρεος πνεόντων ἐτησίων
ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ· ἄλλως τε οὐδὲ χιονό-
8 βλητα εἴη τὰ Αἰθιόπων οὔρεα ὑπὸ καύματος. ὕεσθαι
δὲ κατάπερ τὰ Ἰνδῶν οὐκ ἔξω ἐστὶ τοῦ οἰκότος, ἐπεὶ καὶ
τἄλλα ἡ Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίης, καὶ οἱ
ποταμοὶ οἱ Ἰνδικοὶ ὁμοίως τῷ Νείλῳ τῷ Αἰθιοπηίῳ τε καὶ
Αἰγυπτίῳ κροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἳ αὐτῶν
καὶ ἰχθύας καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος, πλὴν ἵππου
τοῦ ποταμίου· Ὀνησίκριτος δὲ καὶ ἵππους τοὺς
9 ποταμίους λέγει ὅτι φέρουσι. τῶν δὲ ἀνθρώπων αἱ
ἰδέαι οὐ πάντη ἀπᾴδουσιν αἱ Ἰνδῶν τε καὶ Αἰθιόπων. οἱ
μὲν γὰρ πρὸς νότου ἀνέμου Ἰνδοὶ τοῖσιν Αἰθίοψι μᾶλλόν
τι ἐοίκασι, μέλανές τε ἰδέσθαι εἰσί, καὶ ἡ κόμη αὐτοῖσι
μέλαινα, πλήν γε δὴ ὅτι σιμοὶ οὐχ ὡσαύτως οὐδὲ οὐλόκρανοι
ὡς Αἰθίοπες· οἱ δὲ βορειότεροι αὐτῶν κατ' Αἰγυπτίους
μάλιστα ἂν εἶεν τὰ σώματα.

7 ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ πάντα λέγει
Μεγασθένης, δυοῖν δέοντα. καὶ πολλὰ μὲν εἶναι ἔθνεα
Ἰνδικὰ καὶ αὐτὸς συμφέρομαι Μεγασθένεϊ, τὸ δὲ ἀτρεκὲς
οὐκ ἔχω εἰκάσαι ὅκως ἐκμαθὼν ἀνέγραψεν, οὔτε
πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθών, οὔτε ἐπιμι-
2 ξίης πᾶσι τοῖσι γένεσιν ἐούσης ἐς ἄλληλα. πάλαι μὲν
δὴ νομάδας εἶναι Ἰνδούς, κατάπερ Σκυθέων τοὺς οὐκ

ἀροτῆρας, οἳ ἐν τῇσιν ἁμάξῃσι πλανεύμενοι ἄλλοτε ἄλ-
λην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες οὔτε
ἱρὰ θεῶν σέβοντες. οὕτω μηδὲ Ἰνδοῖσι πόλιας εἶναι 3
μηδὲ ἱρὰ θεῶν δεδομημένα, ἀλλὰ ἀμπίσχεσθαι μὲν δο-
ρὰς θηρίων ὅσων κατακάνοιεν, σιτέεσθαι δὲ τῶν δεν-
δρέων τὸν φλοιόν. καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ
Ἰνδῶν φωνῇ τάλα, καὶ φύεσθαι ἐπ' αὐτῶν, κατάπερ
τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. 4
σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας,
πρίν γε δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τὴν Ἰνδῶν.
Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, 5
πόλιάς τε οἰκίσαι καὶ νόμους θέσθαι τῇσι πόλισιν, οἴνου
τε δοτῆρα Ἰνδοῖσι γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπεί-
ρειν διδάξαι τὴν γῆν διδόντα αὐτὸν σπέρματα, ἢ οὐκ 6
ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος
ἐστάλη σπείρειν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις
οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά
σφισιν ἔδωκε καρποῦ τοῦ ἡμέρου. βόας τε ὑπ' ἄρο- 7
τρον ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομά-
δων ποιῆσαι Ἰνδῶν τοὺς πολλούς, καὶ ὁπλίσαι ὅπλοισι
τοῖσιν ἀρηίοισι. καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυ- 8
σος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ
τυμπανίζοντας· καὶ ὄρχησιν δὲ διδάξαι τὴν σατυρικήν,
τὸν κόρδακα παρ' Ἕλλησι καλεόμενον, καὶ κομᾶν 9
Ἰνδοὺς τῷ θεῷ. μιτρηφορέειν τε ἀναδεῖξαι, καὶ μύρων
ἀλοιφὰς ἐκδιδάξαι.

ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὥς οἱ ταῦτα ἐκεκό- 8
σμητο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν
ἑταίρων τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπα-
τέμβα τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τού-
του παῖδα. καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βα- 2

2 τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, ταῦτά μοι ἔστω ἡ
Ἰνδῶν γῆ, καὶ Ἰνδοὶ οὗτοι ἔστων. οὗροι δὲ τῆς Ἰν-
δῶν γῆς πρὸς μὲν βορέεω ἀνέμου ὁ Ταῦρος τὸ οὖρος.
2 καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ, ἀλλὰ ἄρχε-
ται μὲν ἀπὸ θαλάσσης ὁ Ταῦρος τῆς κατὰ Παμφύλους τε
καὶ Λυκίην καὶ Κίλικας, παρατείνει δὲ ἔστε ἐπὶ τὴν
3 πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν. ἄλλο
δὲ ἄλλῃ καλέεται τὸ οὖρος, τῇ μὲν Παραπάμισος τῇ δὲ
Ἠμωδός· ἄλλῃ δὲ Ἴμαον κληΐζεται, καὶ τυχὸν ἄλλα καὶ
4 ἄλλα ἔχει οὐνόματα. Μακεδόνες δὲ οἱ σὺν Ἀλεξάνδρῳ
στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον, ἄλλον τοῦτον
Καύκασον, οὐ τὸν Σκυθικόν, ὡς καὶ τὰ ἐπέκεινα τοῦ
5 Καυκάσου λόγον κατέχειν ὅτι ἐπῆλθεν Ἀλέξανδρος. τὰ
πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείρ-
γει ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἵναπερ αὐτὸς κατὰ
δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ στόματα,
6 κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ συνεχέα, ἀλλὰ ὡς
τὰ τοῦ Νείλου, ὑπ' ὅτων τὸ Δέλτα ποιέεται τὸ Αἰγύπτιον,
ὧδέ τοι καὶ τὸ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς πο-
ταμός, οὐ μεῖον τοῦ Αἰγυπτίου· καὶ τοῦτο Πάταλα τῇ
7 Ἰνδῶν γλώσσῃ καλέεται. τὸ δὲ πρὸς νότου τε ἀνέμου
καὶ μεσαμβρίης αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν
Ἰνδῶν γῆν, καὶ τὰ πρὸς ἕω ἡ αὐτὴ θάλασσα ἀπείργει.
8 τὰ μὲν πρὸς μεσαμβρίης κατὰ Πάταλά τε καὶ τοῦ Ἰν-
δοῦ τὰς ἐκβολὰς ὤφθη πρός τε Ἀλεξάνδρου καὶ Μακε-
δόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω Ἀλέξαν-
9 δρος μὲν οὐκ ἐπῆλθε πρόσω ποταμοῦ Ὑφάσιος, ὀλίγοι
δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγγεω καὶ ἵνα τοῦ
Γάγγεω αἱ ἐκβολαὶ καὶ πόλις Παλίμβοθρα μεγίστη
τῶν Ἰνδικῶν πρὸς τῷ Γάγγῃ.

3 ἐμοὶ δὲ Ἐρατοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλ-
λου ἔστω, ὅτι γῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένει.

οὗτος ἀπὸ τοῦ οὔρεος τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ 2
πηγαί, παρ' αὐτὸν τὸν Ἰνδὸν ποταμὸν ἰόντι ἔστε ἐπὶ
τὴν μεγάλην θάλασσαν καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς μυ-
ρίους σταδίους καὶ τρισχιλίους τὴν πλευρὴν λέγει ἐπέ-
χειν τῆς γῆς τῆς Ἰνδῶν. ταυτησὶ δὲ ἀντίπορον πλευ- 3
ρὴν ποιέει τὴν ἀπὸ τωὐτοῦ οὔρεος παρὰ τὴν ἑῴην θά-
λασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην, ἀλλὰ ἄκρην γὰρ
ἀνέχειν ἐπὶ μέγα ἐς τὸ πέλαγος, ἐς τρισχιλίους στα-
δίους μάλιστα ἀνατείνουσαν τὴν ἄκρην. εἴη ἂν ὦν αὐτῷ
ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς πρὸς ἕω μυρίους καὶ ἑξακισχι-
λίους σταδίους ἐπέχουσα. τοῦτο μὲν αὐτῷ πλάτος τῆς
Ἰνδῶν γῆς συμβαίνει, μῆκος δὲ τὸ ἀπ' ἑσπέρης ἐπὶ 4
ἕω ἔστε μὲν ἐπὶ πόλιν Παλίμβοθρα μεμετρημένον σχοι-
νίοισι λέγει ἀναγράφειν· καὶ εἶναι γὰρ ὁδὸν βασιληίην.
τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους. τὰ δὲ ἐπέκεινα οὐκ-
έτι ὡσαύτως ἀτρεκέα. φήμας δὲ ὅσοι ἀνέγραψαν, σὺν 5
τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς τὸ πέλαγος ἐς μυρίους σταδίους
μάλιστα ἐπέχειν λέγουσιν· εἶναι ἂν ὦν τὸ μῆκος τῆς
Ἰνδῶν γῆς σταδίων μάλιστα δισμυρίων. Κτησίης δὲ ὁ 6
Κνίδιος τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν
λέγων, οὐδὲ Ὀνησίκριτος, τρίτην μοῖραν τῆς πάσης γῆς.
Νέαρχος δὲ μηνῶν τεσσάρων ὁδὸν τὴν δι' αὐτοῦ τοῦ
πεδίου τῆς Ἰνδῶν γῆς. Μεγασθένεϊ δὲ τὸ ἀπὸ ἀνατο- 7
λέων ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς ὅ τι περ οἱ
ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης μυρίων
καὶ ἑξακισχιλίων σταδίων εἶναι ἵναπερ τὸ βραχύτατον
αὐτοῦ. τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσαμβρίην, τοῦτο δὲ 8
αὐτῷ μῆκος γίνεται, καὶ ἐπέχει τριηκοσίους καὶ δισχι-
λίους καὶ δισμυρίους ἵναπερ τὸ στεινότατον αὐτοῦ.

ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ, ὅσοι οὐδὲ 9
ἐν τῇ πάσῃ Ἀσίῃ. μέγιστοι μὲν ὁ Γάγγης τε καὶ ὁ Ἰνδός,
ὅτου καὶ ἡ γῆ ἐπώνυμος, ἄμφω τοῦ τε Νείλου τοῦ Αἰ-

γυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ, καὶ εἰ ἐς τωὐτὸ
10 συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες. δοκέειν δὲ ἔμοιγε,
καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ Νεί-
λου, ἵναπερ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν
Ὑδραώτεα καὶ τὸν Ὕφασιν ἐμβάλλει ἐς τὸν Ἰνδόν, ὡς
καὶ τριήκοντα αὐτῷ σταδίους τὸ πλάτος ταύτῃ εἶναι· καὶ
τυχὸν καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ
ῥέουσιν.

4 ἀλλὰ οὔ μοι ἀτρεκὲς ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφά-
σιος ποταμοῦ ἰσχυρίσασθαι, ὅτι οὐ πρόσω τοῦ Ὑφάσιος
2 ἦλθεν Ἀλέξανδρος. αὐτοῖν δὲ τοῖν μεγίστοιν ποτα-
μοῖν τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγάθεϊ
πολλόν τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψε, καὶ ὅσοι
3 ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν· αὐτόν τε γὰρ μέ-
γαν ἀνίσχειν ἀπὸ τῶν πηγέων, δέκεσθαί τε ἐς ἑωυτὸν τόν
τε Καϊνὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσό-
ανον, πάντας πλωτούς· ἐπὶ δὲ Σῶνόν τε ποταμὸν καὶ Σιτ-
4 τόκατιν καὶ Σολόματιν, καὶ τούτους πλωτούς· ἐπὶ δὲ
Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν
καὶ Ὤμαλιν. ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμινάσης τε
μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος
5 Ἰνδικοῦ τοῦ Μαδυανδινῶν ῥέων, καὶ ἐπὶ τούτοισιν
Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ Ὀξύμαγις ἐν
τοῖσι Παζάλῃσι καλεομένοισι. καὶ Ἐρρένυσις δὲ ἐν Μά-
6 θῃσιν, ἔθνεϊ Ἰνδικῷ, συμβάλλει τῷ Γάγγῃ. τούτων
λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου ἀπο-
7 δέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος. εἶναι ὦν τὸ
εὖρος τῷ Γάγγῃ, ἔνθαπερ αὐτὸς ἑωυτοῦ στεινότατος, ἐς
ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄπο-
πτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τέ ἐστι
8 καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. τῷ δὲ Ἰνδῷ ἐς
τωὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοισι παρει-

ληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρύβησι καὶ τὸν Σαράγγην
ἐκ Κηκέων καὶ τὸν Νεῦδρον ἐξ Ἀττακηνῶν, ἐς τὸν Ἀκε-
σίνην ἐμβάλλουσιν. Ὑδάσπης δὲ ἐν Ὀξυδράκῃσιν ἄγων 9
ἅμα οἷ τὸν Σίναρον ἐν Ἀρίσπῃσιν ἐς τὸν Ἀκεσίνην ἐκ-
διδοῖ καὶ οὗτος. ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖσι συμβάλ- 10
λει τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν
Ἀκεσίνην ἐκδιδοῖ. τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ
τῇ ἐπικλήσι ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ δὴ οὐνόματι
ἐσβάλλει ἐς τὸν Ἰνδόν. Κωφὴν δὲ ἐν Πευκελαΐτιδι, 11
ἅμα οἷ ἄγων Μάλαντόν τε καὶ Σόαστον καὶ Γαρροίαν,
ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. κατύπερθε δὲ τούτων Πάρενος 12
καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν
Ἰνδόν. Σόανος δὲ ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων ἔρη-
μος ἄλλου ποταμοῦ ἐκδιδοῖ ἐς αὐτόν. καὶ τούτων τοὺς
πολλοὺς Μεγασθένης λέγει ὅτι πλωτοί εἰσιν. οὔκουν 13
ἀπιστίην χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγγεω,
μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ
τὸν Νεῖλον. ἐς μέν γε τὸν Νεῖλον οὐδένα ποταμὸν 14
ἐκδιδόντα ἴδμεν, ἀλλὰ ἀπ' αὐτοῦ διώρυχας τετμημέ-
νας κατὰ τὴν χώρην τὴν Αἰγυπτίην· ὁ δὲ Ἴστρος 15
ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων, δέκεται δὲ πολλοὺς
ποταμούς, ἀλλὰ οὐδὲ πλήθεϊ ἴσους τοῖσιν Ἰνδῶν ποταμοῖ-
σιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγεα ἐκδιδοῦσι, πλωτοὺς
δὲ δὴ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα,
τὸν Ἔνον τε καὶ τὸν Σάον. Ἔνος μὲν ἐν μεθορίῳ τῆς 16
Νωρικῶν καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ, ὁ δὲ Σάος
κατὰ Παίονας. ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ πο-
ταμοί, Ταυροῦνος καλέεται. ὅστις δὲ καὶ ἄλλον οἶδε
ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ
πολλούς κου οἶδε.

τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ 5
μεγάθεος τῶν Ἰνδικῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ

2 ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. ἐπεὶ καὶ ἄλλων πολ-
λῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω
τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν
τε καὶ μεσαμβρινὸν πόντον, ὥστε τοὺς πάντας ὀκτὼ
καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδικοὶ ποταμοί, ναυσι-
3 πόροι πάντες. ἀλλὰ οὐδὲ Μεγασθένης τὴν πολλὴν δοκέει
μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε δὴ ὅτι πλεῦνα
ἢ οἱ σὺν Ἀλεξάνδρῳ [τῷ Φιλίππου] ἐπῆλθεν· συγγε-
νέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλέι τῶν
4 Ἰνδῶν, καὶ Πώρῳ, ἔτι τούτου μέζονι. οὗτος ὦν ὁ Με-
γασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν
5 ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους, ἀλλὰ
Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίης καταστρεψά-
μενον τὴν πολλὴν καὶ ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ
6 ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι, Ἰδάνθυρσον δὲ τὸν
Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης
ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων
7 γῆν κρατέοντα. Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχει-
ρέειν μὲν στέλλεσθαι ἐς Ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέ-
λος ἐπιθεῖναι τοῖσι βουλεύμασιν. ἀλλὰ Ἀλέξανδρον γὰρ
8 στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. καὶ πρὸ Ἀλεξάνδρου
Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει ὡς καὶ τούτου
στρατεύσαντος ἐς Ἰνδοὺς καὶ καταστρεψαμένου Ἰν-
9 δούς, Ἡρακλέος δὲ πέρι οὐ πολλός. Διονύσου μέν γε
τῆς στρατηλασίης καὶ Νῦσα πόλις μνῆμα οὐ φαῦλον,
καὶ ὁ Μηρὸς τὸ οὖρος, καὶ ὁ κισσὸς ὅστις ἐν τῷ οὔρεϊ
τούτῳ φύεται, καὶ αὐτοὶ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ
κυμβάλων στελλόμενοι ἐς τὰς μάχας, καὶ ἐσθὴς αὐτοῖσι
κατάστικτος ἐοῦσα, κατάπερ τοῦ Διονύσου τοῖσι βάκ-
10 χοισιν· Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. ἀλλὰ
τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχει-
ρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν, Μα-

κεδονικὸν δοκέει μοι κόμπασμα, κατάπερ ὦν καὶ τὸν
Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι
προσήκοντα τοῦτον τῷ Καυκάσῳ. καί τι καὶ ἄντρον 11
ἐπιφρασθέντες ἐν Παραπαμισάδῃσι, τοῦτο ἔφασαν
ἐκεῖνο εἶναι τοῦ Προμηθέος τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν
ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. καὶ δὴ καὶ ἐν Σι- 12
βῃσιν, Ἰνδικῷ γένεϊ, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς
Σίβας, ἀπὸ τῆς Ἡρακλέος στρατηλασίης ἔφασκον τοὺς
ὑπολειφθέντας εἶναι τοὺς Σίβας· καὶ γὰρ καὶ σκυτάλην
φορέουσιν οἱ Σίβαι, καὶ τῇσι βουσὶν αὐτῶν ῥόπαλον
ἐπικέκαυται, καὶ τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπά-
λου τοῦ Ἡρακλέος. εἰ δέ τῳ πιστὰ ταῦτα, ἄλλος ἂν 13
οὗτος Ἡρακλέης εἴη, οὐχ ὁ Θηβαῖος ἢ ὁ Τύριος ἢ ὁ
Αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην τὴν οὐ πόρρω
τῆς Ἰνδῶν γῆς ᾠκισμένην μέγας βασιλεύς.

ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου ἐς τὸ μὴ πι- 6
στὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος πο-
ταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν· ἔστε γὰρ ἐπὶ τὸν
Ὕφασιν οἱ τῆς Ἀλεξάνδρου στρατηλασίης μετασχόντες
οὐ πάντη ἄπιστοί εἰσιν. ἐπεὶ καὶ τόδε λέγει Μεγα- 2
σθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ οὔ-
νομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ διὰ
τῆς χώρης τῆς Σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποτα-
μοῦ τε καὶ τῆς κρήνης, τὸ δὲ ὕδωρ παρέχεσθαι τοι- 3
όνδε. οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, καὶ οὔτε τι νήχε-
σθαι ἐν αὐτῷ οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς
βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ
ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον. ὕεται δὲ ἡ Ἰνδῶν γῆ 4
τοῦ θέρεος, μάλιστα μὲν τὰ οὔρεα, Παραπάμισός τε καὶ
Ἠμωδὸς καὶ τὸ Ἰμαϊκὸν οὖρος, καὶ ἀπὸ τούτων μεγά-
λοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέουσιν. ὕεται δὲ τοῦ θέ- 5
ρεος καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥστε λιμνάζει τὰ πολλά

αὐτῶν. καὶ ἔφυγεν ἡ Ἀλεξάνδρου στρατιὴ ἀπὸ τοῦ
Ἀκεσίνου ποταμοῦ μέσου θέρεος, ὑπερβαλόντος τοῦ
6 ὕδατος ἐς τὰ πεδία. ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηρι-
οῦσθαι καὶ τοῦ Νείλου τὸ πάθημα, ὅτι οἰκὸς
ὕεσθαι τὰ Αἰθιόπων οὔρεα τοῦ θέρεος, καὶ ἀπ' ἐκείνων
ἐμπιμπλάμενον τὸν Νεῖλον ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας
7 ἐς τὴν γῆν τὴν Αἰγυπτίην. θολερὸς ὢν καὶ οὗτος ῥέει
ἐν τῇδε τῇ ὥρῃ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκομένης ἔρ-
ρεεν, οὔτε εἰ πρὸς τῶν ὥρῃ θέρεος πνεόντων ἐτησίων
ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ· ἄλλως τε οὐδὲ χιονό-
8 βλητα εἴη τὰ Αἰθιόπων οὔρεα ὑπὸ καύματος. ὕεσθαι
δὲ κατάπερ τὰ Ἰνδῶν οὐκ ἔξω ἐστὶ τοῦ οἰκότος, ἐπεὶ καὶ
τἆλλα ἡ Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίης, καὶ οἱ
ποταμοὶ οἱ Ἰνδικοὶ ὁμοίως τῷ Νείλῳ τῷ Αἰθιοπηίῳ τε καὶ
Αἰγυπτίῳ κροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἳ αὐτῶν
καὶ ἰχθύας καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος, πλὴν ἵππου
τοῦ ποταμίου· Ὀνησίκριτος δὲ καὶ ἵππους τοὺς
9 ποταμίους λέγει ὅτι φέρουσι. τῶν δὲ ἀνθρώπων αἱ
ἰδέαι οὐ πάντῃ ἀπᾴδουσιν αἱ Ἰνδῶν τε καὶ Αἰθιόπων. οἱ
μὲν γὰρ πρὸς νότου ἀνέμου Ἰνδοὶ τοῖσιν Αἰθίοψι μᾶλλόν
τι ἐοίκασι, μέλανές τε ἰδέσθαι εἰσί, καὶ ἡ κόμη αὐτοῖσι
μέλαινα, πλήν γε δὴ ὅτι σιμοὶ οὐχ ὡσαύτως οὐδὲ οὐλό-
κρανοι ὡς Αἰθίοπες· οἱ δὲ βορειότεροι αὐτῶν κατ' Αἰ-
γυπτίους μάλιστα ἂν εἶεν τὰ σώματα.

7 ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ πάντα λέγει
Μεγασθένης, δυοῖν δέοντα. καὶ πολλὰ μὲν εἶναι ἔθνεα
Ἰνδικὰ καὶ αὐτὸς συμφέρομαι Μεγασθένεϊ, τὸ δὲ ἀτρε-
κὲς οὐκ ἔχω εἰκάσαι ὅκως ἐκμαθὼν ἀνέγραψεν, οὔτε
πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθών, οὔτε ἐπιμι-
2 ξίης πᾶσι τοῖσι γένεσιν ἐούσης ἐς ἄλληλα. πάλαι μὲν
δὴ νομάδας εἶναι Ἰνδούς, κατάπερ Σκυθέων τοὺς οὐκ

ἀροτῆρας, οἳ ἐν τῇσιν ἁμάξῃσι πλανεύμενοι ἄλλοτε ἄλ-
λην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες οὔτε
ἱρὰ θεῶν σέβοντες. οὕτω μηδὲ Ἰνδοῖσι πόλιας εἶναι 3
μηδὲ ἱρὰ θεῶν δεδομημένα, ἀλλὰ ἀμπίσχεσθαι μὲν δο-
ρὰς θηρίων ὅσων κατακάνοιεν, σιτέεσθαι δὲ τῶν δεν-
δρέων τὸν φλοιόν. καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ
Ἰνδῶν φωνῇ τάλα, καὶ φύεσθαι ἐπ᾽ αὐτῶν, κατάπερ
τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. 4
σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας,
πρίν γε δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τὴν Ἰνδῶν.
Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, 5
πόλιάς τε οἰκίσαι καὶ νόμους θέσθαι τῇσι πόλισιν, οἴνου
τε δοτῆρα Ἰνδοῖσι γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπεί-
ρειν διδάξαι τὴν γῆν διδόντα αὐτὸν σπέρματα, ἢ οὐκ 6
ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος
ἐστάλη σπείρειν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις
οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά
σφισιν ἔδωκε καρποῦ τοῦ ἡμέρου. βόας τε ὑπ᾽ ἄρο- 7
τρον ζεῦξαι Διόνυσον πρῶτον, καὶ ἀροτῆρας ἀντὶ νομά-
δων ποιῆσαι Ἰνδῶν τοὺς πολλούς, καὶ ὁπλίσαι ὅπλοισι
τοῖσιν ἀρηίοισι. καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυ- 8
σος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ
τυμπανίζοντας· καὶ ὄρχησιν δὲ διδάξαι τὴν σατυρικήν,
τὸν κόρδακα παρ᾽ Ἕλλησι καλεόμενον, καὶ κομᾶν 9
Ἰνδοὺς τῷ θεῷ. μιτρηφορέειν τε ἀναδεῖξαι, καὶ μύρων
ἀλοιφὰς ἐκδιδάξαι.

ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὥς οἱ ταῦτα ἐκεκό- 8
σμητο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν
ἑταίρων τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπα-
τέμβα τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τού-
του παῖδα. καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βα-

σιλεῦσαι Ἰνδῶν, τὸν πατέρα, τὸν δὲ παῖδα εἴκοσιν ἔτεα.
καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιληίην Κραδεύαν,
3 καὶ τὸ ἀπὸ τοῦδε τὸ πολλὸν μὲν κατὰ γένος ἀμείβειν
τὴν βασιληίην, παῖδα παρὰ πατρὸς ἐκδεκόμενον· εἰ δὲ
ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην κατίστασθαι Ἰν-
4 δοῖσι βασιλέας. Ἡρακλέα δέ, ὅντινα ἐς Ἰνδοὺς ἀπικέ-
σθαι λόγος κατέχει, παρ' αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγε-
5 σθαι. τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν
γεραίρεσθαι, Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόλιες μεγάλαι,
Μέθορά τε καὶ Κλεισόβορα· καὶ ποταμὸς Ἰωβάρης πλω-
6 τὸς διαρρέει τὴν χώρην αὐτῶν. τὴν σκευὴν δὲ οὗτος
ὁ Ἡρακλέης ἥντινα ἐφόρεε Μεγασθένης λέγει ὅτι ὁμοίην
τῷ Θηβαίῳ Ἡρακλέϊ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται. καὶ
τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν
τῇ Ἰνδῶν γῇ — πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν
καὶ τοῦτον τὸν Ἡρακλέα —, θυγατέρα δὲ μουνογενέην.
7 οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην, καὶ τὴν χώρην,
ἵνα τε ἐγένετο καὶ ἧστινος ἐπέτρεψεν αὐτῇ ἄρχειν
Ἡρακλέης, τῆς παιδὸς ἐπώνυμον. καὶ ταύτῃ ἐλέ-
φαντας μὲν γενέσθαι ἐκ τοῦ πατρὸς ἐς πεντακοσίους,
ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρισκαί-
8 δεκα μυριάδας. καὶ τάδε δὲ μετεξέτεροι Ἰνδῶν περὶ Ἡρα-
κλέος λέγουσιν, ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασ-
σαν καὶ καθήραντα ὅ τι περ κακόν, καινὸν εἶδος ἐξευρεῖν
9 ἐν τῇ θαλάσσῃ κόσμου γυναικηίου, ὅντινα καὶ ἐς τοῦτο
ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ' ἡμέας
ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι, καὶ Ἑλλή-
νων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ
εὐδαίμονες μέζονι ἔτι σπουδῇ ὠνέονται τὸν μαργαρί-
την δὴ τὸν θαλάσσιον οὕτω τῇ Ἰνδῶν γλώσσῃ καλεό-
10 μενον. τὸν γὰρ Ἡρακλέα, ὡς καλόν οἱ ἐφάνη τὸ
φόρημα, ἐκ πάσης θαλάσσης ἐς τὴν Ἰνδῶν συνα-

γινέειν τὸν μαργαρίτην δὴ τοῦτον, τῇ θυγατρὶ τῇ
ἑωυτοῦ εἶναι κόσμον. καὶ λέγει Μεγασθένης, θη- 11
ρεύεσθαι αὐτοῦ τὴν κόγχην δικτύοισι, νέμεσθαι δὲ
κατὰ τωὐτὸ πολλὰς κόγχας, κατάπερ τὰς μελίσσας. καὶ
εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα ἢ βασίλισσαν,
ὡς τῇσι μελίσσῃσι. καὶ ὅστις μὲν ἐκεῖνον κατ' ἐπιτυχίην 12
συλλάβοι, τοῦτον μὲν εὐπετέως περιβάλλειν καὶ τὸ ἄλλο
σμῆνος τῶν μαργαριτέων· εἰ δὲ διαφύγοι σφᾶς ὁ βασι-
λεύς, τούτοισι δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους.
τοὺς ἑλόντας δὲ περιορᾶν κατασαπῆναί σφισι τὴν σάρκα,
τῷ δὲ ὀστέῳ ἐς κόσμον χρᾶσθαι. καὶ εἶναι γὰρ καὶ 13
παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριστάσιον κατὰ τιμὴν
πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ Ἰνδῶν γῇ
ὀρυσσόμενον.

ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ 9
τοῦ Ἡρακλέος, τὰς μὲν γυναῖκας ἑπταέτεας ἐούσας ἐς
ὥρην γάμου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα
τὰ πλεῖστα βιώσκεσθαι. καὶ ὑπὲρ τούτου λεγόμενον 2
λόγον εἶναι παρὰ Ἰνδοῖσιν. Ἡρακλέα, ὀψιγόνου οἱ γε-
νομένης τῆς παιδός, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑωυτῷ
ἐοῦσαν τὴν τελευτήν, οὐκ ἔχοντα ὅτῳ ἀνδρὶ ἐκδῷ τὴν
παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ
ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν
βασιλέας. ποιῆσαι ὦν αὐτὴν Ἡρακλέα ὡραίην γάμου· 3
καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅτου ἡ Πανδαίη ὑπῆρξε,
τωὐτὸν τοῦτο γέρας ἔχειν παρὰ Ἡρακλέος. ἐμοὶ δὲ 4
δοκέει, εἴπερ ὦν τὰ ἐς τοσόνδε ἄτοπα Ἡρακλέης οἷός τε
ἦν ἐξεργάζεσθαι, κἂν ἑωυτὸν ἀποφῆναι μακροβιώτερον,
ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. ἀλλὰ γὰρ εἰ τὰ ὑπὲρ 5
τῆς ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστίν, ἐς τωὐτὸν
φέρειν δοκέει ἔμοιγε ἐς ὅ τι περ καὶ τὸ ὑπὲρ τῶν ἀν-
δρῶν τῆς ἡλικίης ὅτι τεσσαρακοντούτεες ἀποθνήσκουσι·

6 οἱ πρεσβύτατοι αὐτῶν. οἷς γὰρ τό τε γῆρας τοσῷδε
ταχύτερον ἐπέρχεται καὶ ὁ θάνατος ὁμοῦ τῷ γήραϊ, πάν-
τως κου καὶ ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη
7 ἐπανθέει. ὥστε τριακοντούτεες μὲν ὠμογέροντες ἂν
κου εἶεν αὐτοῖσιν οἱ ἄνδρες, εἴκοσι δὲ ἔτεα γεγονότες οἱ
ἔξω ἥβης νεηνίσκοι, ἡ δὲ ἀκροτάτη ἥβη ἀμφὶ τὰ πεντε-
καίδεκα ἔτεα· καὶ τῇσι γυναιξὶν ὥρη γάμου κατὰ
8 λόγον ἂν ἐς τὰ ἑπτὰ ἔτεα συμβαίνοι. καὶ γὰρ τοὺς
καρποὺς ἐν ταύτῃ τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον
τῶν ἄλλῃ ὡυτὸς οὗτος Μεγασθένης ἀνέγραψε καὶ φθί-
νειν ταχύτερον.
9 ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς
Σανδράκοττον τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν, ἔτεα δὲ
δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι
τρὶς τὸ πᾶν ἐς ἐλευθερίην ** τὴν δὲ καὶ ἐς τριηκόσια·
10 τὴν δὲ εἴκοσί τε ἐτέων καὶ ἑκατόν. πρεσβύτερόν τε
Διόνυσον Ἡρακλέος δέκα καὶ πέντε γενεῇσιν Ἰνδοὶ λέ-
γουσιν· ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ
πολέμῳ, οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας
ἐλάσαντα καὶ τἄλλα πολυπραγμονέστατον δὴ τῶν κατὰ
11 τὴν Ἀσίην βασιλέων γενόμενον τὸν Κῦρον. ἀλλὰ
Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι πάντων τοῖσιν
ὅπλοισιν, ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρα-
12 τῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν
τινὰ ἔξω τῆς οἰκηίης σταλῆναι ἐπὶ πολέμῳ διὰ δικαιό-
τητα.
10 λέγεται δὲ καὶ τάδε, μνημήια ὅτι Ἰνδοὶ τοῖσι τελευ-
τήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν
ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι καὶ τὰς
2 ᾠδὰς αἳ αὐτοῖσιν ἐπάδονται. πολίων δὲ ἀριθμὸν οὐκ
εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν ὑπὸ πλήθεος.
** ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων ἢ παραθαλάσσιαι,

ταύτας μὲν ξυλίνας ποιέεσθαι· οὐ γὰρ ἂν ἐκ πλίν- 3
θου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον τοῦ τε ὕδατος
εἵνεκα τοῦ ἐξ οὐρανοῦ καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερ-
βάλλοντες ὑπὲρ τὰς ὄχθας ἐμπιμπλᾶσι τοῦ ὕδατος τὰ
πεδία. ὅσαι δὲ ἐν ὑπερδεξίοισί τε καὶ μετεώροισι τό- 4
ποισι καὶ τούτοισι ψιλοῖσιν ᾠκισμέναι εἰσί, ταύτας
δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι. μεγίστην δὲ 5
πόλιν ἐν Ἰνδοῖσιν εἶναι τὴν Παλίμβοθρα καλεομένην, ἐν
τῇ Πρασίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα
ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγί-
στου ποταμῶν· ὁ δὲ Ἐραννοβόας τρίτος μὲν ἂν εἴη τῶν
Ἰνδικῶν ποταμῶν, μέζων δὲ τῶν ἄλλῃ καὶ οὗτος. ἀλλὰ
συγχωρέει τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ
ὕδωρ. καὶ λέγει Μεγασθένης, μῆκος μὲν ἐπέχειν τὴν 6
πόλιν κατ' ἑκατέρην τὴν πλευρὴν ἵναπερ μακροτάτη
αὐτὴ ἑωυτῆς ᾤκισται ἐς ὀγδοήκοντα σταδίους, τὸ δὲ
πλάτος ἐς πεντεκαίδεκα. τάφρον δὲ περιβεβλῆσθαι τῇ 7
πόλι τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πή-
χεων· πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους
ἔχειν τὸ τεῖχος καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα. εἶναι 8
δὲ καὶ τόδε μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι
ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν. τοῦτο μὲν
Λακεδαιμονίοισιν ἐς τωὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι. Λα- 9
κεδαιμονίοισι μέν γε οἱ εἵλωτες δοῦλοί εἰσι καὶ τὰ δου-
λων ἐργάζονται, Ἰνδοῖσι δὲ οὐδὲ ἄλλος δοῦλός ἐστι,
μήτι γε Ἰνδῶν τις.

νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γέ- 11
νεα. ἓν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθεϊ μὲν μεί-
ους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι· οὔτε 2
γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφιν προσκέε-
ται οὔτε τι ἀποφέρειν ἀπ' ὅτων πονέουσιν ἐς τὸ κοινόν.
οὐδέ τι ἄλλο ἀναγκαίης ἁπλῶς ἐπεῖται τοῖσι σοφιστῇσιν,

ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ
3 τῶν Ἰνδῶν· ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ
τῆς θυσίης τῶν τις σοφιστέων τούτων γίνεται, ὡς οὐκ
4 ἂν ἄλλως κεχαρισμένα τοῖσι θεοῖσι θύσαντι. εἰσὶ δὲ
καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐπεῖται
5 ἄλλῳ μαντεύεσθαι ὅτι μὴ σοφιστῇ ἀνδρί. μαντεύονται
δὲ ὑπὲρ τῶν ὡρέων τοῦ ἔτεος καὶ εἴ τις τὸ κοινὸν
συμφορὴ καταλαμβάνοι· τὰ δὲ ἴδια ἑκάστοισιν οὔ σφιν
μέλει μαντεύεσθαι, ἢ ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς
ἐς τὰ σμικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐὸν ἐπὶ τούτοισι πονέε-
6 σθαι. ὅστις δὲ ἁμάρτοι ἐς τρὶς μαντευσάμενος, τούτῳ δὲ
ἄλλο μὲν κακὸν γίνεσθαι οὐδέν, σιωπᾶν δὲ εἶναι ἐπά-
ναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν
ἄνδρα τοῦτον φωνῆσαι, ὅτου σιωπὴ κατακέκριται.
7 οὗτοι γυμνοὶ διαιτέονται οἱ σοφισταί, τοῦ μὲν χειμῶ-
νος ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος, ἐπεὰν ὁ ἥλιος
κατέχῃ, ἐν τοῖσι λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι
μεγάλοισιν, ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέ-
θρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν καὶ μυρίους ἀνθρώ-
πους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα
8 τὰ δένδρεα. σιτέονται δὲ τὰ ὡραῖα καὶ τὸν φλοιὸν τῶν
δενδρέων, γλυκύν τε ἐόντα τὸν φλοιὸν καὶ τρόφιμον οὐ
μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων.

9 δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν, πλή-
θεϊ πλεῖστοι Ἰνδῶν ἐόντες. καὶ τούτοισιν οὔτε ὅπλα
ἐστὶν ἀρήια οὔτε 'μέλει πολεμήια ἔργα', ἀλλὰ τὴν χώρην
οὗτοι ἐργάζονται, καὶ τοὺς φόρους τοῖσί τε βασιλεῦσι
καὶ τῇσι πόλισιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι.
10 καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσι τύχοι, τῶν
ἐργαζομένων τὴν γῆν οὐ θέμις σφιν ἅπτεσθαι οὐδὲ
αὐτὴν τὴν γῆν τέμνειν, ἀλλὰ οἱ μὲν πολεμέουσι καὶ
κατακαίνουσιν ἀλλήλους ὅκως τύχοιεν, οἱ δὲ πλησίον

αὐτῶν κατ' ἡσυχίην ἀροῦσιν ἢ τρυγέουσιν ἢ κλαδέουσιν
ἢ θερίζουσιν.

τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε 11
καὶ οἱ βουκόλοι. καὶ οὗτοι οὔτε κατὰ πόλιας οὔτε ἐν τῇσι
κώμῃσιν οἰκέουσι, νομάδες δέ εἰσι καὶ ἀνὰ τὰ οὔρεα
βιοτεύουσι, φόρον δὲ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρου-
σι, καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ
ἄγρια θηρία.

τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν 12
γένος. καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρου-
σιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ
ἀρήια ὅπλα ποιέουσιν. οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοι-
νοῦ προσλαμβάνουσιν. ἐν δὲ τούτῳ τῷ γένεϊ οἵ τε ναυ-
πηγοὶ καὶ οἱ ναῦταί εἰσιν, ὅσοι γε κατὰ τοὺς ποταμοὺς
πλώουσι.

πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν οἱ πολεμισταί, 2
πλήθεϊ μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ
ἐλευθερίῃ τε καὶ εὐθυμίῃ χρεόμενον. οὗτοι ἀσκη-
ταὶ μούνων τῶν πολεμικῶν ἔργων εἰσί. τὰ δὲ ὅπλα 3
ἄλλοι αὐτοῖσι ποιέουσι, καὶ τοὺς ἵππους ἄλλοι παρέχουσι,
καὶ διακονέουσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἳ τούς τε ἵπ-
πους αὐτοῖσι θεραπεύουσι καὶ τὰ ὅπλα ἐκκαθαίρουσι
καὶ τοὺς ἐλέφαντας ἄγουσι καὶ τὰ ἅρματα κοσμέουσί τε
καὶ ἡνιοχεύουσιν. αὐτοὶ δέ, ἔστ' ἂν μὲν πολεμέειν 4
δέῃ, πολεμέουσιν, εἰρήνης δὲ γενομένης εὐθυμέονται·
καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ
ἄλλους τρέφειν ἀπ' αὐτοῦ εὐμαρέως.

ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι. 5
οὗτοι ἐφορέουσι τὰ γινόμενα κατά τε τὴν χώρην καὶ κατὰ
τὰς πόλιας, καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλέϊ, ἵναπερ
βασιλεύονται Ἰνδοί, ἢ τοῖσι τέλεσιν, ἵναπερ αὐτόνομοί

εἰσι. καὶ τούτοισιν οὐ θέμις ψεῦδος ἀναγγεῖλαι οὐδέν,
οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι.
6 ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμε-
νοι ὁμοῦ τῷ βασιλέι ἢ κατὰ τὰς πόλιας ὅσαι αὐτόνομοι
7 σὺν τῇσιν ἀρχῇσι. πλήθεϊ μὲν ὀλίγον τὸ γένος τοῦτό
ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμέ-
νον. ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται καὶ
ὅσοι νόμαρχοι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ
στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι καὶ τῶν κατὰ
γεωργίην ἔργων ἐπιστάται.
8 γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι
γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ ἢ ἔμπαλιν. οὐδὲ δύο
τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν οὐδὲ τοῦτο θέμις, οὐδὲ
ἀμείβειν ἕτερον ἐξ ἑτέρου γένος, οἷον γεωργικὸν ἐκ
9 νομέος γίνεσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. μοῦνόν
σφισιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γίνεσθαι, ὅτι
οὐ μαλθακὰ τοῖσι σοφιστῇσίν ἐστι τὰ πρήγματα ἀλλὰ
πάντων ταλαιπωρότατα.
13 θηρέουσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία κατάπερ
καὶ Ἕλληνες, ἡ δὲ τῶν ἐλεφάντων σφιν θήρη οὐδέν τι
ἄλλῃ ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι
2 θηρίοισιν ἐπέοικεν. ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπε-
δον καὶ καυματώδεα ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον
μεγάλῳ στρατοπέδῳ ἐναυλίσασθαι. τῆς δὲ τάφρου τὸ
εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τέσσαρας.
3 τὸν δὲ χόον ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος,
ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες ἀντὶ
4 τείχεος διαχρέονται, αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τῷ ἐπὶ
τοῦ χείλεος τοῦ ἔξω τῆς τάφρου σκηνάς σφιν ὀρυκτὰς
ποιέονται, καὶ διὰ τούτων ὀπὰς ὑπολείπονται· δι' ὧν
φάος τε αὐτοῖσιν ἐσέρχεται καὶ τὰ θηρία προσάγοντα
5 καὶ ἐσελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. ἐνθαῦτα ἐν-

τὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ
τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν ἔσο-
δον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν
τάφρον· καὶ ταύτῃ χόον τε καὶ ποίην πολλὴν ἐπιφο-
ρέουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυ-
ραν, μή τινα δόλον ὀισθῶσιν. αὐτοὶ μὲν ὦν ἐκποδὼν 6
σφᾶς ἔχουσι κατὰ τῶν σκηνέων τῶν ἐπὶ τῇ τάφρῳ δε-
δυκότες, οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελά-
ζουσι τοῖσιν οἰκεομένοισι, νύκτωρ δὲ πλανέονταί τε πάν-
τῃ καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ
σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. ἐπεὰν 7
ὦν τῷ ἕρκεϊ πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν
θηλέων καὶ τῆς ὀδμῆς αἰσθόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ
τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς
τάφρου τὰ χείλεα εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι, κατὰ
ταύτην ἐς τὸ ἕρκος ὠθέονται. οἱ δὲ ἄνθρωποι αἰσθό- 8
μενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ μὲν
αὐτῶν τὴν γέφυραν ὀξέως ἀπεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας
κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν
τῷ ἕρκεϊ ἔχονται· οἳ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν 9
κρατίστων τε καὶ χειροηθεστάτων ἐλεφάντων, ἐπι-
βάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ
οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλὰ ἐῶσι γὰρ λιμῷ τε
ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῷ
δίψει δουλωθῆναι. εὖτ' ἂν δέ σφισι κακῶς ἔχειν 10
δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν
ἐλαύνουσί τε ὡς ἐπὶ τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη
κατίσταται καρτερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς
τοὺς ἑαλωκότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ οἰκὸς
οἱ ἄγριοι ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρεύ-
μενοι. οἳ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρει- 11
μένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέ-

ουσιν, ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγῇσι
σφᾶς κολάζειν πολλῇσιν, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι
ἐς γῆν πέσωσι. παραστάντες δὲ βρόχους περιβάλλουσιν
αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμέ-
12 νοισι. τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο
ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ
μαχαιρίῳ ὀξέι ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν το-
μὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ
13 τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. εἰ γὰρ περιστρέφοιντο
ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ
κάλῳ. οὕτω ὦν ἀτρέμα ἴσχουσι, καὶ ταύτῃ γνωσι-
14 μαχέοντες ἤδη ἄγονται πρὸς τῶν ἡμέρων. ὅσοι δὲ
νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τού-
2 τους ἐῶσιν ἀπαλλάσσεσθαι ἐς τὰ σφέτερα ἤθεα. ἄγον-
τες δὲ ἐς τὰς κώμας τοὺς ἁλόντας τοῦ τε χλωροῦ καλά-
3 μου καὶ τῆς ποίης τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν, οἳ δὲ
ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ
περιιστάμενοι οἱ Ἰνδοὶ ᾠδῇσί τε καὶ τυμπάνοισι καὶ
κυμβάλοισιν κρούοντές τε καὶ ἐπᾴδοντες κατευνάζουσι.
4 θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ἐλέφας, καί
τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀπο-
θανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἳ δὲ
καὶ ὑπερήσπισαν κειμένους, οἳ δὲ καὶ πεσόντων προε-
κινδύνευσαν, ὃ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν
5 ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. εἶδον
δὲ ἐγὼ καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους
ὀρχεομένους, κυμβάλου τῷ κυμβαλίζοντι πρὸς τοῖν
σκελοῖν τοῖν ἔμπροσθε προσηρτημένου, καὶ πρὸς τῇ
6 προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον· ὃ δὲ ἐν μέρεϊ
τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκα-
τέροιν τοῖν σκελοῖν, οἳ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχό-
ρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὸ ἔμπρο-

σθε σκέλεα ἐν τῷ μέρεϊ ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον,
κατ' ὅτι ὁ κυμβαλίζων σφίσιν ὑπηγέετο. βαίνεται δὲ 7
ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι
θηλέῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνδιχθεῖ-
σαι ἐκπνέωσι. κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαί-
δεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα. τίκτει
δὲ ἕν, κατάπερ ἵππος, καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι
ἐς ἔτος ὄγδοον. ζώουσι δὲ ἐλεφάντων οἱ πλεῖστα 8
ἔτεα ζώοντες ἐς διηκόσια, πολλοὶ δὲ νούσῳ προτε-
λευτέουσιν. καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν 9
ἴημα βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας
νούσους μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι
ὕεια κρέα ὀπτεύμενα καὶ καταπλασσόμενα.

τοῦ δὲ ἐλέφαντος τὴν τίγριν πολλόν τι ἀλκιμωτέρην 15
Ἰνδοὶ ἄγουσι. τίγριος δὲ δορὴν μὲν ἰδεῖν λέγει Νέαρ-
χος, αὐτὴν δὲ τίγριν οὐκ ἰδεῖν· ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ
ἀπηγέεσθαι, τίγριν εἶναι μέγαθος μὲν ἡλίκον τὸν μέ-
γιστον ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν οἵην οὐδενὶ
ἄλλῳ εἰκάσαι· ἐπεὰν γὰρ ὁμοῦ ἔλθῃ ἐλέφαντι, ἐπι- 2
πηδᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέφαντος καὶ ἄγχειν
εὐπετέως. ταύτας δέ, ἅστινας καὶ ἡμεῖς ὁρέομεν καὶ 3
τίγριας καλέομεν, θῶας εἶναι αἰόλους καὶ μέζονας ἤπερ
τοὺς ἄλλους θῶας. ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει 4
Νέαρχος μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέειν, ὁκοῖον δή τινα
μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῇ Ἰνδῶν γῇ, δορὰς
δὲ καὶ τούτων ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον κατακο-
μισθείσας τὸ Μακεδονικόν. Μεγασθένης δὲ ἀτρεκέα 5
εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει, τούτους
εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυ-
σοῦ εἵνεκα, ἀλλὰ φύσι γὰρ κατὰ τῆς γῆς ὀρύσσουσιν, ἵνα
φωλεύωσι, κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες

6 ὀλίγον τῆς γῆς ὀρύσσουσιν. ἐκείνους δέ — εἶναι γὰρ
ἀλωπέκων μέζονας — πρὸς λόγον τοῦ μεγάθεος σφῶν καὶ
τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ ἀπὸ
7 ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. ἀλλὰ Μεγασθέ-
νης τε ἀκοὴν ἀπηγέεται, καὶ ἐγὼ ὅτι οὐδὲν τούτου ἀτρε-
κέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ τῶν
8 μυρμήκων λόγον. σιττακοὺς δὲ Νέαρχος μὲν ὡς δή τι
θῶμα ἀπηγέεται ὅτι γίνονται ἐν τῇ Ἰνδῶν γῇ, καὶ ὁκοῖος
ὄρνις ἐστὶν ὁ σιττακός, καὶ ὅκως φωνὴν ἵει ἀνθρωπί-
9 νην. ἐγὼ δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ ἄλλους
ἐπισταμένους ᾔδεα τὸν ὄρνιθα, οὐδὲν ὡς ὑπὲρ ἀτόπου
δῆθεν ἀπηγήσομαι· οὐδὲ ὑπὲρ τῶν πιθήκων τοῦ μεγά-
θεος, ἢ ὅτι καλοὶ παρ' Ἰνδοῖσι πίθηκοί εἰσιν, οὐδὲ ὅκως
θηρέονται ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρέω, πλήν γε
10 δὴ ὅτι καλοί κου πίθηκοί εἰσι. καὶ ὄφιας δὲ λέγει Νέαρχος
θηρευθῆναι αἰόλους μὲν καὶ ταχέας, μέγαθος δέ, ὃν μὲν
λέγει ἑλεῖν Πείθωνα τὸν Ἀντιγένεος, πήχεων ὡς ἑκκαί-
δεκα· αὐτοὺς δὲ τοὺς Ἰνδοὺς πολὺ μέζονας τούτων λέ-
11 γειν εἶναι τοὺς μεγίστους ὄφιας. ὅσοι δὲ ἰητροὶ Ἕλ-
ληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρητο ὅστις ὑπὸ ὄφιος
δηχθείη Ἰνδικοῦ· ἀλλὰ αὐτοὶ γὰρ οἱ Ἰνδοὶ ἰῶντο τοὺς
πληγέντας. καὶ ἐπὶ τῷδε Νέαρχος λέγει ὅτι συλλελεγμέ-
νους ἀμφ' ἑωυτὸν εἶχεν Ἀλέξανδρος Ἰνδῶν ὅσοι ἰητρικὴν
σοφώτατοι, καὶ ἐκεκήρυκτο ἀνὰ τὸ στρατόπεδον, ὅστις
12 δηχθείη, ἐπὶ τὴν σκηνὴν φοιτᾶν τὴν τοῦ βασιλέος. οἱ δὲ
αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων ἰη-
τροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα γίνεται, ὅτι
αἱ ὧραι σύμμετροί εἰσιν αὐτόθι· εἰ δέ τι μέζον καταλαμ-
βάνοι, τοῖσι σοφιστῇσιν ἀνεκοινοῦντο· καὶ ἐκεῖνοι οὐκ
ἄνευ θεοῦ ἐδόκεον ἰῆσθαι ὅ τι περ ἰήσιμον.

16 ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέ-
αρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτου μοι ἤδη

λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιήν
ἐστιν ἄλλου λίνου παντός, ἢ μέλανες αὐτοὶ ἐόντες λαμ-
πρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. ἔστι δὲ κι- 2
θὼν λίνεος αὐτοῖσιν ἔστε ἐπὶ μέσην τὴν κνήμην, νῆμα
δὲ τὸ μὲν τοῖσιν ὤμοισι περιβεβλημένον, τὸ δὲ περὶ
τῇσι κεφαλῇσιν εἰλιγμένον. καὶ ἐνώτια Ἰνδοὶ φορέου- 3
σιν ἐλέφαντος, ὅσοι κάρτα εὐδαίμονες· οὐ γὰρ πάντες
Ἰνδοὶ φορέουσι. τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι 4
βάπτονται Ἰνδοὶ χροιὴν ἄλλην καὶ ἄλλην, οἱ μέν, ὡς
λευκοὺς φαίνεσθαι οἵους λευκοτάτους, οἱ δὲ κυανέους·
τοῖσι δὲ φοινικέους εἶναι, τοῖσι δὲ καὶ πορφυρέους, ἄλ-
λοισι πρασοειδέας· καὶ σκιάδια ὅτι προβάλλονται τοῦ 5
θέρεος ὅσοι οὐκ ἠμελημένοι Ἰνδῶν. ὑποδήματα δὲ λευ-
κοῦ δέρματος φορέουσι, περισσῶς καὶ ταῦτα ἠσκημένα·
καὶ τὰ ἴχνεα τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψη-
λά, τοῦ μέζονας φαίνεσθαι.

ὁπλίσιος δὲ τῆς Ἰνδῶν οὐκ ὠυτὸς εἷς τρόπος, ἀλλὰ 6
οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσιν, ἰσόμηκες τῷ φο-
ρέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες καὶ
τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκτοξεύουσι,
τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες· ὁ γὰρ ὀι- 7
στὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος, οὐδέ τι ἀν-
τέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς
οὔτε θώρηξ οὔτε εἴ τι καρτερώτερον ἐγένετο. ἐν δὲ τῇσιν 8
ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόιναι, στεινότε-
ραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκεϊ δὲ οὐ πολλὸν
ἀποδέουσαι. τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί. μάχαι- 9
ραν δὲ πάντες φορέουσι, πλατέαν δὲ καὶ τὸ μῆκος οὐ
μέζω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην καταστῇ
αὐτοῖσιν ἡ μάχη — τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς
ἀλλήλους γίνεται — ἀμφοῖν τοῖν χεροῖν καταφέρουσιν,
τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι. οἱ δὲ ἱππέες 10

αὐτοῖσιν ἀκόντια δύο ἔχουσιν, οἷα τὰ σαύνια ἀκόν-
τια, καὶ πέλτην σμικροτέρην τῶν πεζῶν. οἱ δὲ ἵπ-
ποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσίν, οὐδὲ χαλινοῦνται τοῖ-
σιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφε-
11 ρέως, ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι ἐν κύκλῳ ἔχουσι
δέρμα ὠμοβόινον ῥαπτὸν περιηρτημένον, καὶ ἐν τούτῳ
χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμ-
μένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν.
ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν,
οἷόν περ ὀβελόν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν
12 οἱ ῥυτῆρες· ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε
ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ
αὐτοῦ ἠρτημένα, κεντέοντα οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι
τῷ ῥυτῆρι.

17 τὰ δὲ σώματα ἰσχνοί τέ εἰσιν Ἰνδοὶ καὶ εὐμήκεες,
καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους.
ὀχήματα δὲ τοῖσι μὲν πολλοῖσιν Ἰνδῶν κάμηλοί εἰσι καὶ
2 ἵπποι καὶ ὄνοι, τοῖσι δὲ εὐδαίμοσιν ἐλέφαντες. βασι-
λικὸν γὰρ ὄχημα ὁ ἐλέφας παρ' Ἰνδοῖσίν ἐστι, δεύτε-
ρον δὲ τιμῇ τὰ τέθριππα, τρίτον δὲ αἱ κάμηλοι. τὸ
3 δὲ ἐπ' ἑνὸς ἵππου ὀχέεσθαι ἄτιμον. αἱ γυναῖκες δὲ
αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ
οὐκ ἄν τι διαμάρτοιεν, ἐλέφαντα δὲ λαβοῦσα γυνὴ
μίσγεται τῷ δόντι· οὐδὲ αἰσχρὸν Ἰνδοὶ ἄγουσι τὸ ἐπὶ
ἐλέφαντι μιγῆναι, ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναι-
4 ξὶν ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. γαμέουσι δὲ
οὔτε τι διδόντες οὔτε τι λαμβάνοντες, ἀλλὰ ὅσαι ἤδη
ὡραῖαι γάμου, ταύτας δὲ οἱ πατέρες προάγοντες ἐς τὸ ἐμ-
φανὲς κατιστᾶσιν ἐκλέξασθαι τῷ νικήσαντι πάλην ἢ πὺξ
5 ἢ δρόμον ἢ κατ' ἄλλην τινὰ ἀνδρηίην προκριθέντι. σι-
τοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι
αὐτῶν· οὗτοι δὲ θηρίων κρέα σιτέονται.

ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα 6
γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω
ἄνδρε, ἀνεγραψάτην· ἐπεὶ δὲ οὐδὲ ἡ ὑπόθεσίς μοι 7
τῇσδε τῆς συγγραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι ἦν,
ἀλλὰ ὅκως γὰρ περιεκομίσθη Ἀλεξάνδρῳ ἐς Πέρσας ἐξ
Ἰνδῶν ὁ στόλος, ταῦτα δέ μοι ἐκβολὴ ἔστω τοῦ λόγου.
Ἀλέξανδρος γάρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτι- 18
κὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι
τε Φοίνικες καὶ ὅσοι Κύπριοι καὶ Αἰγύπτιοι εἵποντο ἐν
τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπη-
ρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος ὅσοι τῶν θα-
λασσίων ἔργων δαήμονες. ἦσαν δὲ καὶ νησιῶται ἄν- 2
δρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ, οἷσι ταῦτα ἔμελε, καὶ
Ἴωνες καὶ Ἑλλησπόντιοι. τριήραρχοι δὲ αὐτοῖσιν ἐπε- 3
στάθησαν ἐκ Μακεδόνων μὲν Ἡφαιστίων τε ὁ Ἀμύντορος,
καὶ Λεόννατος ὁ Ἀντέου, καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέος,
καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου, καὶ Ἄρχων ὁ Κλει-
νίεω, καὶ Δημόνικος ὁ Ἀθηναίου, καὶ Ἀρχίης ὁ Ἀναξι-
δότεω, καὶ Ὀφέλας ὁ Σειληνοῦ, καὶ Τιμάνθης ὁ Παντιά-
δεω. οὗτοι μὲν Πελλαῖοι· ἐκ δὲ Ἀμφιπόλιος ἦγον οἵδε· 4
Νέαρχος ὁ Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῷ παραπλόῳ ἀνέ-
γραψε· καὶ Λαομέδων ὁ Λαρίχου, καὶ Ἀνδροσθένης ὁ Καλ-
λιστράτου· ἐκ δὲ τῆς Ὀρεστίδος Κρατερός τε ὁ Ἀλεξάν- 5
δρου, καὶ Περδίκκας ὁ Ὀρόντεω· Ἐορδαῖοι δὲ Πτολεμαῖός
τε ὁ Λάγου καὶ Ἀριστόνοος ὁ Πισαίου. ἐκ Πύδνης δὲ Μή-
τρων τε ὁ Ἐπιχάρμου καὶ Νικαρχίδης ὁ Σίμου. ἐπὶ 6
δὲ Ἄτταλός τε ὁ Ἀνδρομένεος Τυμφαῖος, καὶ Πευκέ-
στας ὁ Ἀλεξάνδρου, Μιεζεύς, καὶ Πείθων ὁ Κρατεύα, Ἀλ-
κομενεύς, καὶ Λεόννατος ὁ Ἀντιπάτρου Αἰγαῖος, καὶ Πάν-
ταυχος ὁ Νικολάου Ἀλωρίτης, καὶ Μυλλέας ὁ Ζωΐλου Βε-
ροιαῖος. οὗτοι μὲν οἱ σύμπαντες Μακεδόνες· Ἑλλήνων 7
δὲ Μήδιος μὲν ὁ Ὀξυθέμιδος Λαρισαῖος, Εὐμένης δὲ

ὁ Ἱερωνύμου ἐκ Καρδίης, Κριτόβουλος δὲ ὁ Πλάτωνος
Κῷος, καὶ Θόας ὁ Μηνοδώρου καὶ Μαίανδρος ὁ Μανδρο-
8 γένεος Μάγνητες. Ἄνδρων δὲ ὁ Καβήλεω Τήιος, Κυ-
πρίων δὲ Νικοκλέης ὁ Πασικράτεος Σόλιος, καὶ Νιθά-
φων ὁ Πυνταγόρεω Σαλαμίνιος. ἦν δὲ δὴ καὶ Πέρσης
9 αὐτῷ τριήραρχος, Βαγώας ὁ Φαρνούχεω. τῆς δὲ αὐ-
τοῦ Ἀλεξάνδρου νεὸς κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυ-
παλαιεύς, γραμματεὺς δὲ τοῦ στόλου παντὸς Εὐαγόρας
10 ὁ Εὐκλέωνος Κορίνθιος. ναύαρχος δὲ αὐτοῖσιν ἐπε-
στάθη Νέαρχος ὁ Ἀνδροτίμου, τὸ γένος μὲν Κρὴς ὁ Νέαρ-
11 χος, ᾤκεε δὲ ἐν Ἀμφιπόλι τῇ ἐπὶ Στρυμόνι. ὡς δὲ
ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖσι θεοῖσιν ὅσοι
γε πάτριοι ἢ μαντευτοὶ αὐτῷ, καὶ Ποσειδῶνι καὶ Ἀμ-
φιτρίτῃ καὶ Νηρηίσι καὶ αὐτῷ τῷ Ὠκεανῷ, καὶ τῷ
Ὑδάσπῃ ποταμῷ, ἀπ' ὅτου ὡρμᾶτο, καὶ τῷ Ἀκεσίνῃ, ἐς
ὅντινα ἐκδιδοῖ Ὑδάσπης, καὶ τῷ Ἰνδῷ, ἐς ὅντινα ἄμφω
12 ἐκδιδοῦσιν· ἀγῶνές τε αὐτῷ μουσικοί τε καὶ γυμνι-
κοὶ ἐποιεῦντο, καὶ ἱερήϊα τῇ στρατιῇ πάσῃ κατὰ τέλεα
ἐδίδοτο.

19 ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ ἐς ἀναγωγήν, Κράτε-
ρον μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἐπιέναι σὺν στρατιῇ
ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ· ἐς τὸ ἐπὶ θάτερα δὲ
Ἡφαιστίων αὐτῷ προεπορεύετο, σὺν ἄλλῃ στρατιῇ πλεί-
ονι ἔτι τῆς Κρατέρῳ συντεταγμένης. καὶ τοὺς ἐλέ-
φαντας Ἡφαιστίων αὐτῷ ἦγεν, ὄντας ἐς διηκοσίους.
2 αὐτὸς δὲ τούς τε ὑπασπιστὰς καλεομένους ἅμα οἷ ἦγε
καὶ τοὺς τοξότας πάντας καὶ τῶν ἱππέων τοὺς ἑταίρους
3 καλεομένους, τοὺς πάντας ἐς ὀκτακισχιλίους. τοῖσι
μὲν δὴ ἀμφὶ Κράτερον καὶ Ἡφαιστίωνα ἐτέτακτο ἵνα
4 προπορευθέντες ὑπομένοιεν τὸν στόλον. Φίλιππον δέ,
ὃς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκε-
σίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα στρατιῇ πολλῇ

καὶ τοῦτον· ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῷ μαχι- 5
μοι εἵποντο σὺν οἷσιν ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε
καὶ αὖθις οἱ ἐπὶ συλλογῇ αὐτῷ στρατιῆς πεμφθέντες
ἧκον ἔχοντες, παντοῖα ἔθνεα βαρβαρικὰ ἅμα οἷ ἄγοντι
καὶ πᾶσαν ἰδέην ὡπλισμένα. αὐτὸς δὲ ἄρας τῇσι νηυ- 6
σὶ κατέπλωε κατὰ τὸν Ὑδάσπεα ἔστε ἐπὶ τοῦ Ἀκεσί-
νου τε καὶ τοῦ Ὑδάσπεω τὰς συμβολάς. νέες δὲ αἱ 7
σύμπασαι αὐτῷ ὀκτακόσιαι ἦσαν, αἵ τε μακραὶ καὶ
ὅσα στρογγύλα πλοῖα καὶ ἄλλαι ἱππαγωγοὶ καὶ σιτία
ἅμα τῇ στρατιῇ ἄγουσαι. ὅκως μὲν δὴ κατὰ τοὺς πο- 8
ταμοὺς κατέπλωσεν αὐτῷ ὁ στόλος, καὶ ὅσα ἐν τῷ παρα-
πλόῳ ἔθνεα κατεστρέψατο, καὶ ὅκως διὰ κινδύνου αὐτὸς
ἐν Μαλλοῖσιν ἦκε, καὶ τὸ τρῶμα ὃ ἐτρώθη ἐν Μαλλοῖσι,
καὶ Πευκέστας τε καὶ Λεόννατος ὅκως ὑπερήσπισαν αὐ-
τὸν πεσόντα, πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ ἄλλῃ
τῇ Ἀττικῇ συγγραφῇ. ὁ δὲ λόγος ὅδε τοῦ παραπλόου 9
μοι ἀπήγησίς ἐστιν, ὃν Νέαρχος σὺν τῷ στόλῳ παρέ-
πλωσεν ἀπὸ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς κατὰ
τὴν θάλασσαν τὴν μεγάλην ἔστε ἐπὶ τὸν κόλπον τὸν
Περσικόν, ἣν δὴ Ἐρυθρὴν θάλασσαν μετεξέτεροι κα-
λέουσι.

Νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος· πό- 20
θον μὲν εἶναι Ἀλεξάνδρῳ ἐκπεριπλῶσαι τὴν θάλασσαν
τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν, ὀκνέειν δὲ 2
αὐτὸν τοῦ τε πλόου τὸ μῆκος καὶ μή τινι ἄρα χώρῃ ἐρή-
μῃ ἐγκύρσας ἢ ὅρμων ἀπόρῳ ἢ οὐ συμμέτρως ἐχούσῃ
τῶν ὡρέων, οὕτω δὴ διαφθαρῇ αὐτῷ ὁ στόλος, καὶ οὐ
φαύλη κηλὶς αὕτη τοῖσιν ἔργοισιν αὐτοῦ τοῖσι μεγάλοι-
σιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίην αὐτῷ ἀφανίσῃ·
ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίην τοῦ καινόν τι
αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι. ἀπόρως δὲ ἔχειν ὅντινα 3
οὐκ ἀδύνατόν τε ἐς τὰ ἐπινοεύμενα ἐπιλέξαιτο, καὶ ἅμα

8 προσοικέει δὲ ταύτῃ ἔθνος Ἰνδικόν, οἱ Ἀράβιες κα-
λεόμενοι, ὧν καὶ ἐν τῇ μέζονι συγγραφῇ μνήμην ἔσχον,
καὶ ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς
γῆς αὐτῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν, ὁρίζων τούτων
9 τε τὴν χώρην καὶ τὴν Ὠρειτέων. ἐκ δὲ Κρωκάλων ἐν
δεξιῇ μὲν ἔχοντες οὖρος τὸ καλεόμενον Εἶρον, ἐν ἀρι-
στερῇ δὲ νῆσον ἀλιτενέα ἔπλωον· ἡ δὲ νῆσος παρατετα-
10 μένη τῇ ἠιόνι κόλπον στεινὸν ποιέει. διεκπλώσαντες
δὲ ταύτην ὁρμίζονται ἐν λιμένι εὐόρμῳ. ὅτι δὲ μέγας τε
καὶ καλὸς ὁ λιμὴν Νεάρχῳ ἔδοξεν, ἐπονομάζει αὐτὸν
11 Ἀλεξάνδρου λιμένα. νῆσος δέ ἐστιν ἐπὶ τῷ στόματι
τοῦ λιμένος ὅσον σταδίους δύο ἀπέχουσα· Βίβακτα οὔ-
νομα τῇ νήσῳ, ὁ δὲ χῶρος ἅπας Σάγγαδα ἐκαλέετο. ἡ δὲ
νῆσος καὶ τὸν λιμένα, προκειμένη πρὸ τοῦ πελάγεος, αὐτὴ
12 ἐποίεεν. ἐνθαῦτα πνεύματα μεγάλα ἐκ τοῦ πόντου
ἔπνεε καὶ συνεχέα, καὶ Νέαρχος δείσας τῶν βαρβάρων
μή τινες συνταχθέντες ἐπ' ἁρπαγὴν τοῦ στρατοπέδου
13 τραποίατο, ἐκτειχίζει τὸν χῶρον λιθίνῳ τείχεϊ. τέσ-
σαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ μονῇ ἐγένοντο. καὶ λέγει
ὅτι μύας τε ἐθήρων τοὺς θαλασσίους οἱ στρατιῶται, καὶ
ὄστρεα δὲ καὶ τοὺς σωλῆνας καλεομένους, ἄτοπα τὸ μέ-
γαθος, ὡς τοῖσιν ἐν τῇδε τῇ ἡμετέρῃ θαλάσσῃ συμβα-
λέειν· καὶ ὕδωρ ὅτι ἁλμυρὸν ἐπίνετο.

22 ἅμα τε ὁ ἄνεμος ἐπαύσατο καὶ οἳ ἀνήγοντο. καὶ πε-
ραιωθέντες σταδίους ἐς ἑξήκοντα ὁρμίζονται πρὸς αἰ-
γιαλῷ ψαμμώδεϊ· νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη.
2 ταύτην δὲ πρόβλημα ποιησάμενοι ὡρμίσθησαν· Δόμαι
οὔνομα τῇ νήσῳ. ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ, ἀλλὰ
προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους ἐπι-
3 τυγχάνουσιν ὕδατι καλῷ. τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐ-
τοῖσιν ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριηκοσί-
ους, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ, καὶ ὕδωρ ἦν ἀπὸ τοῦ

αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους. ἐνθένδε πλώσαντες ὁρ- 4
μίζονται ἐν Σακάλοισι, τόπῳ ἐρήμῳ. καὶ διεκπλώσαν-
τες σκοπέλους δύο, οὕτω τι ἀλλήλοισι πελάζοντας, ὥστε
τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν
πετρέων, κατορμίζονται ἐν Μοροντοβάροισι, σταδίους
διελθόντες ἐς τριηκοσίους, ὁ δὲ λιμὴν μέγας καὶ εὔ- 5
κυκλος καὶ βαθὺς καὶ ἄκλυστος, ὁ δὲ ἔσπλοος ἐς αὐτὸν
στεινός. τοῦτον τῇ γλώσσῃ τῃ ἐπιχωρίῃ Γυναικῶν λι-
μένα ἐκάλεον, ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρ-
ξεν. ὡς δὲ διὰ τῶν σκοπέλων διεξέπλωον, κύμασί τε 6
μεγάλοισιν ἐνέκυρσαν καὶ τῇ θαλάσσῃ ῥοώδεϊ. ἀλλὰ ἐκ-
περιπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους μέγα ἔργον ἐφαί-
νετο. ἐς δὲ τὴν ὑστεραίην ἔπλωον νῆσον ἐν ἀριστερῇ 7
ἔχοντες πρὸ τοῦ πελάγεος οὕτω τι τῷ αἰγιαλῷ συνα-
φέα ὥστε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰ-
γιαλοῦ καὶ τῆς νήσου· στάδιοι οἱ πάντες ἑβδομήκοντα
τοῦ διεκπλόου. καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολ-
λὰ καὶ δασέα, καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος. ὑπὸ 8
δὲ τὴν ἕω ἔπλωον ἔξω τῆς νήσου κατὰ ῥηχίην στεινήν·
ἔτι γὰρ ἀνάπωτις κατεῖχε. πλώσαντες δὲ ἐς ἑκατὸν καὶ
εἴκοσι σταδίους ὁρμίζονται ἐν τῷ στόματι τοῦ Ἀράβιος
ποταμοῦ· καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς τῷ στόματι·
ὕδωρ δὲ οὐκ ἦν πότιμον· τοῦ γὰρ Ἀράβιος αἱ ἐκβολαὶ
ἀναμεμιγμέναι τῷ πόντῳ ἦσαν. ἀλλὰ τεσσαράκοντα 9
σταδίους ἐς τὸ ἄνω προχωρήσαντες λάκκῳ ἐπιτυγχά-
νουσι, καὶ ἔνθεν ὑδρευσάμενοι ὀπίσω ἀπενόστησαν. 10
νῆσος δὲ ἐπὶ τῷ λιμένι ὑψηλὴ καὶ ἐρήμη, καὶ περὶ ταύ-
την ὀστρέων τε καὶ ἰχθύων παντοδαπῶν θήρη. μέχρι
μὲν τοῦδε Ἀράβιες, ἔσχατοι Ἰνδῶν ταύτῃ ᾠκισμένοι, τὰ
δὲ ἀπὸ τοῦδε Ὠρεῖται ἐπεῖχον.

ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολέων τοῦ Ἀράβιος παρέ- 23
πλωον τῶν Ὠρειτέων τὴν χώρην. καὶ ὁρμίζονται ἐν Πα-

γιαλοῖσι, πλώσαντες σταδίους ἐς διηκοσίους, πρὸς
ῥηχίῃ. ἀλλὰ ἀγκύρῃσι γὰρ ἐπίβολος ἦν ὁ χῶρος. τὰ
μὲν ὦν πληρώματα ἀπεσάλευον ἐν τῇσι νηυσίν, οἱ δὲ
2 ἐπ' ὕδωρ ἐκβάντες ὑδρεύοντο. τῇ δ' ὑστεραίῃ ἀνα-
χθέντες ἅμα ἡμέρῃ καὶ πλώσαντες σταδίους ἐς τετρα-
κοσίους κατάγονται ἑσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται
πρὸς αἰγιαλῷ ἐρήμῳ. ἐνθαῦτα ῥηχίη τρηχέα ἦν, καὶ
3 ἐπὶ τῷδε μετεώρους τὰς νέας ὡρμίσαντο. κατὰ τοῦτον
τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας μέγα ἐκ πόν-
του, καὶ νέες δύο μακραὶ διαφθείρονται ἐν τῷ πλόῳ,
καὶ κέρκουρος· οἱ δὲ ἄνθρωποι σῴζονται ἀπονηξάμενοι,
4 ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγίνετο. ἀμφὶ δὲ μέσας
νύκτας ἀναχθέντες πλώουσιν ἔστε ἐπὶ Κώκαλα, ἃ τοῦ αἰ-
γιαλοῦ, ἔνθεν ὡρμήθησαν, ἀπεῖχε σταδίους διηκοσίους·
καὶ αἱ μὲν νέες σαλεύουσαι ὥρμεον, τὰ πληρώματα δὲ
ἐκβιβάσας Νέαρχος πρὸς τῇ γῇ ηὐλίσθη, ὅτι ἐπὶ πολλὸν
τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ ἀναπαύσασθαι ἐπό-
θεον. στρατόπεδον δὲ περιεβάλετο τῶν βαρβάρων τῆς
5 φυλακῆς εἵνεκα. ἐν τούτῳ τῷ χώρῳ Λεόννατος, ὅτῳ τὰ
Ὠρειτέων ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ
Ὠρείτας τε καὶ ὅσοι Ὠρείτῃσι συνεπελάβοντο τοῦ ἔργου.
καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάν-
τας· τῶν δὲ σὺν Λεοννάτῳ ἱππέες μὲν ἀποθνήσκουσι
πεντεκαίδεκα, τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ
6 Ἀπολλοφάνης ὁ Γαδρωσίων σατράπης. ταῦτα μὲν δὴ
ἐν τῇ ἄλλῃ συγγραφῇ ἀναγέγραπται, καὶ ὅκως Λεόννα-
τος ἐπὶ τῷδε ἐστεφανώθη πρὸς Ἀλεξάνδρου χρυσέῳ
7 στεφάνῳ. ἐνθαῦτα σῖτος ἦν νενημένος κατὰ πρόσ-
ταγμα Ἀλεξάνδρου ἐς ἐπισιτισμὸν τῷ στρατῷ, καὶ
8 ἐμβάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας. καὶ τῶν
νεῶν ὅσαι ἐπεπονήκεσαν κατὰ τὸν πλόον μέχρι τοῦδε
ἐπεσκεύασαν, καὶ τῶν ναυτέων ὅσοι ἐν τῷ ἔργῳ βλα-

κεῦσαι ἐφαίνοντο Νεάρχῳ, τούτους μὲν πεζῇ ἄγειν Λεον-
νάτῳ ἔδωκεν, αὐτὸς δὲ ἀπὸ τῶν σὺν Λεοννάτῳ στρα-
τιωτέων συμπληροῖ τὸ ναυτικόν.
ἐνθένδε ὁρμηθέντες ἔπλωον ἀκραεί, καὶ διελθόντες 24
σταδίους ἐς πεντακοσίους ὡρμίζοντο πρὸς ποταμῷ χει-
μαρρόῳ· Τόμηρος οὔνομα ἦν τῷ ποταμῷ. καὶ λίμνη ἦν 2
ἐπὶ τῇσιν ἐκβολῇσι τοῦ ποταμοῦ, τὰ δὲ βραχέα τὰ πρὸς
τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβῃσι πνιγηρῇσι.
καὶ οὗτοι ὡς προσπλώοντας εἶδον, ἐθάμβησάν τε καὶ
παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν ἐτάχθησαν ὡς
ἀπομαχεόμενοι πρὸς τοὺς ἐκβαίνοντας. λόγχας δὲ 3
ἐφόρεον παχέας, μέγαθος ὡς ἑξαπήχεας· ἀκωκὴ δὲ οὐκ
ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτοῖσι πεπυρακτωμένον
τωὐτὸ ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι. καὶ τού- 4
τους Νέαρχος ὡς ὑπομένοντάς τε καὶ παρατεταγμένους
κατεῖδε, τὰς μὲν νέας ἀνακωχεύειν κελεύει ἐντὸς βέλεος,
ὡς τὰ τοξεύματα ἐς τὴν γῆν ἀπ' αὐτέων ἐξικνέεσθαι·
αἱ γὰρ τῶν βαρβάρων λόγχαι ἀγχέμαχοι μὲν ἄφοβοι
δὲ ἐς τὸ ἐσακοντίζεσθαι ἦσαν. αὐτὸς δὲ τῶν στρα- 5
τιωτέων ὅσοι αὐτοί τε κουφότατοι καὶ κουφότατα
ὡπλισμένοι τοῦ τε νέειν δαημονέστατοι, τούτους δὲ
ἐκνήξασθαι κελεύει ἀπὸ συνθήματος. πρόσταγμα δέ 6
σφισιν ἦν, ὅκως τις ἐκνηξάμενος σταίη ἐν τῷ ὕδατι, προσ-
μένειν τὸν παραστάτην οἱ ἐσόμενον, μηδὲ ἐμβάλλειν
πρόσθε ἐς τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος
ταχθῆναι τὴν φάλαγγα· τότε δὲ δρόμῳ ἐπιέναι ἀλα-
λάζοντας. ἅμα δὲ ἐρρίπτεον ἑωυτοὺς οἱ ἐπὶ τῷδε 7
τεταγμένοι ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο
ὀξέως, καὶ ἵσταντο ἐν κόσμῳ, καὶ φάλαγγα ἐκ σφῶν
ποιησάμενοι δρόμῳ ἐπήεσαν αὐτοί τε ἀλαλάζοντες τῷ
Ἐνυαλίῳ, καὶ οἱ ἐπὶ τῶν νεῶν συνεπήχεον, τοξεύματά
τε καὶ ἀπὸ μηχανέων βέλεα ἐφέρετο ἐς τοὺς βαρβάρους

8 οἱ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες καὶ
τῆς ἐφόδου τὴν ὀξύτητα καὶ πρὸς τῶν τοξευμάτων τε
καὶ τῶν ἄλλων βελέων βαλλόμενοι, οἷα δὴ ἡμίγυμνοι
ἄνθρωποι, οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι.
καὶ οἱ μὲν αὐτοῦ φεύγοντες ἀποθνήσκουσιν, οἱ δὲ καὶ
9 ἁλίσκονται· ἔστι δὲ οἳ καὶ διέφυγον ἐς τὰ οὔρεα. ἦσαν
δὲ οἱ ἁλόντες τά τε ἄλλα δασέες καὶ τὰς κεφαλάς,
καὶ τοὺς ὄνυχας θηριώδεες· τοῖσι γὰρ δὴ ὄνυξιν ὅσα
σιδήρῳ διαχρᾶσθαι ἐλέγοντο καὶ τοὺς ἰχθύας τούτοισι
παρασχίζοντες κατεργάζεσθαι καὶ τῶν ξύλων ὅσα μαλθα-
κώτερα. τὰ δὲ ἄλλα τοῖσι λίθοισι τοῖσιν ὀξέσιν ἔκοπτον·
σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον δέρ-
ματα θηρήια, οἱ δὲ καὶ ἰχθύων τῶν μεγάλων τὰ παχέα.
25 ἐνθαῦτα νεωλκέουσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι
αὐτέων ἐπισκευάζουσι. τῇ δὲ ἕκτῃ ἡμέρῃ ἐστέλλοντο,
καὶ πλώσαντες σταδίους ἐς τριηκοσίους ἀπικνέονται ἐς
χῶρον, ὃς δὴ ἔσχατος ἦν τῆς Ὠρειτέων γῆς· Μάλανα
2 τῷ χώρῳ οὔνομα. Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης
οἰκέουσιν, ἐσταλμένοι μὲν κατάπερ Ἰνδοί εἰσι, καὶ τὰ
ἐς πόλεμον ὡσαύτως παραρτέονται· γλῶσσα δὲ ἄλλη αὐ-
3 τοῖσι καὶ ἄλλα νόμαια. μῆκος τοῦ παράπλου παρὰ μὲν
χώρην τὴν Ἀραβίων ἐς χιλίους μάλιστα σταδίους, ἔνθεν-
περ ὡρμήθησαν, παρὰ δὲ τὴν Ὠρειτέων γῆν ἑξακόσιοι
4 καὶ χίλιοι. παραπλωόντων δὲ τὴν Ἰνδῶν γῆν (τὸ ἐν-
θεῦτεν γὰρ οὐκέτι Ἰνδοί εἰσι) λέγει Νέαρχος ὅτι αἱ σκιαὶ
5 αὐτοῖσιν οὐ τωὐτὸ ἐποίεον· ἀλλὰ ὁκότε μὲν ἐπὶ πολλὸν
τοῦ πόντου ὡς πρὸς μεσαμβρίην προχωρήσειαν, αἱ δὲ
καὶ αὐταὶ πρὸς μεσαμβρίην τετραμμέναι ἐφαίνοντο·
ὁκότε δὲ τὸ μέσον τῆς ἡμέρης ἐπέχοι ὁ ἥλιος, ἤδη
6 καὶ ἔρημα σκιῆς πάντα ὤφθη αὐτοῖσι. τῶν τε ἀστέ-
ρων ὅσους πρόσθε μετεώρους κατεώρων, οἱ μὲν ἀφα-
νέες πάντη ἦσαν, οἱ δὲ [illegible] ἐφαίνοντο,

καταδύνοντές τε καὶ αὐτίκα ἀνατέλλοντες οἱ πάλαι ἀει-
φανέες ἐόντες. καὶ ταῦτα οὐκ ἀποικότα δοκέει μοι ἀνα- 7
γράψαι Νέαρχος· ἐπεὶ καὶ ἐν Συήνῃ τῇ Αἰγυπτίῃ, ἐπε-
ὰν τροπὰς ἄγῃ θέρεος ὥρῃ ὁ ἥλιος, φρέαρ ἀποδεδειγ-
μένον ἐστί, καὶ τοῦτο ἄσκιον ἐν μεσαμβρίῃ φαίνεται·
ἐν Μερόῃ δὲ πάντα ἄσκια τῇ αὐτῇ ὥρῃ. οἰκὸς ὦν καὶ 8
ἐν Ἰνδοῖσιν, ἅτε πρὸς μεσαμβρίην ᾠκισμένοισι, τωὐτὰ
δὴ πάθεα ἐπέχειν, καὶ μάλιστα δὴ κατὰ τὸν πόντον τὸν
Ἰνδικόν, ὅσῳ μᾶλλον αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσαμ-
βρίην κέκλιται. ταῦτα μὲν δὴ ὧδε ἐχέτω.

ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι 26
ἐπεῖχον, ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρα-
τιῇ Ἀλέξανδρος, καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ
σύμπαντα τῆς συμπάσης στρατηλασίης. ταῦτά μοι ἐν τῇ
μέζονι συγγραφῇ ἀναγέγραπται. κάτω δὲ Γαδρωσίων 2
παρὰ τὴν θάλασσαν αὐτὴν οἱ Ἰχθυοφάγοι καλεόμενοι
οἰκέουσι. παρὰ τούτων τὴν γῆν ἔπλωον. τῇ μὲν δὴ πρώτῃ
ἡμέρῃ περὶ δευτέρην φυλακὴν ἀναχθέντες καταί-
ρουσιν ἐς Βαγίσαρα· στάδιοι τοῦ παραπλόου ἑξακόσιοι.
λιμήν τε ἔνι αὐτόθι εὔορμος, καὶ κώμη Πάσιρα, ἀπέ- 3
χουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους, καὶ οἱ πρόσοι-
κοι αὐτῆς Πασιρέες. ἐς δὲ τὴν ὑστεραίην πρωιαίτερον 4
τῆς ὥρης ἀναχθέντες περιπλώουσιν ἄκρην ἐπὶ πολλόν τε
ἀνέχουσαν ἐς τὸν πόντον καὶ ταύτην ὑψηλὴν καὶ κρημνώ-
δεα. φρέατα δὲ ὀρύξαντες, ὕδωρ ὀλίγον καὶ πονηρὸν 5
ἀρυσάμενοι ταύτῃ μὲν τῇ ἡμέρῃ ἐπὶ ἀγκυρέων ὥρμεον,
ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν· ἐς δὲ τὴν ὑστε- 6
ραίην καταίρουσιν ἐς Κόλτα, σταδίους ἐλθόντες διηκο-
σίους. ἐνθένδε ἕωθεν πλώσαντες σταδίους ἑξακοσίους ἐν
Καλάμοισιν ὁρμίζονται. κώμη πρὸς τῷ αἰγιαλῷ, φοίνι-
κες δὲ περὶ αὐτὴν ὀλίγοι ἐπεφύκεσαν, καὶ βάλανοι ἐπ'
αὐτοῖσι χλωραὶ ἐπῆσαν. καὶ νῆσος ὡς ἑκατὸν σταδίους

7 ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη οὔνομα. ἐνθαῦτα
ξείνια Νεάρχῳ προσφέρουσιν οἱ κωμῆται πρόβατα καὶ
ἰχθύας· καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι ἦν ἰχθυώ-
δεα, ἴσα τοῖσι τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι καὶ αὐτὰ
8 ἰχθύας σιτέεται· ποίη γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ. ἀλλὰ
τῇ ὑστεραίῃ πλώσαντες ἐς σταδίους διηκοσίους ὁρμίζον-
ται πρὸς αἰγιαλῷ καὶ κώμῃ ἀπὸ θαλάσσης ἐς σταδίους
τριήκοντα ἀπεχούσῃ· ἡ μὲν κώμη Κίσσα ἐκαλέετο, Καρ-
9 βὶς δὲ τῷ αἰγιαλῷ οὔνομα ἦν. ἐνθαῦτα πλοίοισιν ἐπι-
τυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων πλοῖα οὐκ εὐδαι-
μόνων· αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν, ἀλλ' ἔφυγον
γὰρ κατορμιζομένας κατιδόντες τὰς νέας. σῖτός τε αὐ-
τόθι οὐκ ἐνῆν, καὶ ἐπελελοίπει τὴν στρατιὴν ὁ πολλός·
ἀλλὰ αἶγας ἐμβαλόμενοι ἐς τὰς νέας, οὕτω δὴ ἀπέπλωον.
10 καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν ὅσον πεντήκοντα
καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον, κατάγον-
ται ἐν λιμένι ἀκλύστῳ. καὶ ὕδωρ αὐτόθι ἦν, καὶ ἁλιέες
ᾤκεον· Μοσαρνὰ οὔνομα ἦν τῷ λιμένι.
27 ἐνθένδε κατηγεμὼν τοῦ πλόου λέγει Νέαρχος ὅτι
συνέπλωσεν αὐτοῖσιν Ὑδράκης οὔνομα, Γαδρώσιος·
ὑπέστη δὲ Ὑδράκης καταστήσειν αὐτοὺς μέχρι Καρμα-
νίης. τὰ δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλλὰ μᾶλλόν
2 τι εὔορμα, ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν. ἐκ
δὲ Μοσαρνῶν νυκτὸς ἄραντες πλώουσι σταδίους ἑπτα-
κοσίους καὶ πεντήκοντα ἐς Βάλωμον αἰγιαλόν· ἐνθένθε
ἐς Βάρνα κώμην σταδίους τετρακοσίους, ἵνα φοίνικές τε
πολλοὶ ἐνῆσαν καὶ κῆπος, καὶ ἐν τῷ κήπῳ μύρσιναι ἐπε-
φύκεσαν καὶ ἄλλα ἄνθεα, ἀπ' ὅτων στεφανώματα τοῖσι
κωμήτῃσιν ἐπλέκετο· ἐνθαῦτα πρῶτον δένδρεά τε εἶδον
ἥμερα, καὶ ἀνθρώπους οὐ πάντῃ θηριώδεας ἐποικέον-
3 τας. ἐνθένδε ἐς διηκοσίους σταδίους περιπλώσαντες
καταίρουσιν ἐς Δενδρόβοσα, καὶ αἱ νέες ἐπ' ἀγκυρέων

ἐσάλευσαν. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς 4
Κώφαντα λιμένα ἀπίκοντο, τετρακοσίους μάλιστα στα-
δίους διεκπλώσαντες· ἐνθαῦτα ἁλιέες τε ᾤκεον, καὶ 5
πλοῖα αὐτοῖσιν ἦν σμικρὰ καὶ πονηρά· καὶ τῇσι κώπῃ-
σιν οὐ κατὰ σκαλμὸν ἤρεσσον ὡς ὁ Ἑλλήνων νόμος, ἀλλὰ
τὸ ὕδωρ ἀναβάλλοντες ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ
σκάπτοντες τὴν γῆν. ὕδωρ δὲ πολλόν τε ἦν ἐν τῷ
λιμένι καὶ καθαρόν. περὶ δὲ πρώτην φυλακὴν ἄραντες 6
καταίρουσιν ἐς Κύιζα, ἐς ὀκτακοσίους σταδίους διεκ-
πλώσαντες, ἵνα αἰγιαλός τε ἔρημος ἦν καὶ ῥηχίη. αὐτόθι
ὦν ἐπ' ἀγκυρέων ὥρμεον, κατὰ νέας τε ἐδειπνο-
ποιέοντο. ἐνθένδε διεκπλώσαντες σταδίους πεντα- 7
κοσίους ἀπίκοντο ἔς τινα πόλιν σμικρήν, οἰκεομέ-
νην ἐπὶ γηλόφου οὐ πόρρω τοῦ αἰγιαλοῦ. καὶ Νέαρχος 8
ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώρην οἰκός, λέγει πρὸς
Ἀρχίην — συνέπλωε δὲ Νεάρχῳ, τῶν ἐν αἴνῃ ἐὼν Μακε-
δόνων — πρὸς τοῦτον λέγει ὅτι καταληπτέον σφίσιν εἴη τὸ
χωρίον· ἑκόντας τε γὰρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ στρατιῇ 9
σιτία, βίῃ τε οὐκ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ
τριβῆς δεήσειν, σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία. ὅτι δὲ
ἡ γῆ σιτοφόρος, τῇ καλάμῃ τεκμηριοῦσθαι, ἥντινα οὐ
πόρρω τοῦ αἰγιαλοῦ ἀπεώρων βαθέαν. ταῦτα ἐπεί 10
σφισιν ἐδόκεε, τὰς μὲν ἄλλας νέας κελεύει παραρτέε-
σθαι ὡς ἐς πλόον, καὶ Ἀρχίης αὐτῷ ἐξήρτυε τὰ ἐς τὸν
πλόον· αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεὸς ἐπὶ θέαν
δῆθεν τῆς πόλιος ᾔει.

προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως ξείνια 28
ἔφερον ἐκ τῆς πόλιος θύννους τε ἐν κριβάνοισιν ὀπτούς
— οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες πρῶτοι
αὐτοῖσιν ὤφθησαν οὐκ ὠμοφαγέοντες — καὶ πέμματα ὀλίγα
καὶ βαλάνους φοινίκων. ὁ δὲ ταῦτα μὲν ἄσμενος δέκε-

σθαι ἔφη, ἐθέλειν δὲ θεήσασθαι τὴν πόλιν· οἱ δὲ εἴσω
3 παρελθεῖν. ὡς δὲ ἔσω πυλέων παρῆλθε, δύο μὲν τῶν
τοξοτέων κατέχειν κελεύει τὴν πυλίδα, αὐτὸς δὲ μετὰ
δυοῖν ἄλλοιν καὶ τοῦ ἑρμηνέος ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ
ἀνελθὼν ἐσήμηνε τοῖσιν ἀμφὶ Ἀρχίην ὅκως συνεκέετο.
τὸν μὲν ὦν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τε-
4 ταγμένον. ἰδόντες δὲ τὸ σημήιον οἱ Μακεδόνες ἐπώ-
κελλόν τε κατὰ τάχος τὰς νέας καὶ ἐξεπήδων σπουδῇ ἐς
τὴν θάλασσαν, οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖσι γινο-
5 μένοισιν ἐπὶ τὰ ὅπλα ἔθεον. ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νε-
άρχῳ ἐκήρυσσε σῖτον δοῦναι τῇ στρατιῇ, εἰ σῴην ἐθέ-
λουσιν ἔχειν τὴν πόλιν· οἱ δὲ ἠρνέοντο εἶναι σφίσι, καὶ
ἅμα προσέβαλλον τῷ τείχεϊ. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ
τοξόται οἱ ἀμφὶ Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες.
6 ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδρα-
ποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὴ ἐδέοντο τοῦ
Νεάρχου, τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσι λαβόντα ἀπα-
7 γαγεῖν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. Νέαρχος δὲ τὸν μὲν
Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας καὶ τὸ κατ' αὐτὰς
τεῖχος, αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν
8 σῖτον εἰ ἀδόλως δεικνῦσιν. οἱ δὲ τὸ μὲν ἀπὸ τῶν
ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολλὸν ἐδεί-
κνυν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας· καὶ γὰρ ἐτύγ-
χανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοι-
9 σιν ὅσα ὄψῳ διαχρεόμενοι. ὡς δὲ τὰ ἐόντα ἐπεδείκνυν,
οὕτω δὴ ἐκ τῶν παρεόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ
ὁρμίζονται πρὸς ἄκρῃ, ἥντινα οἱ ἐπιχώριοι ἱρὴν Ἡλίου
ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγεια.

29 ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες διεκπλώουσι
σταδίους ἐς χιλίους ἐς Τάλμενα λιμένα εὔορμον. ἐν-
θένδε ἐς Κανασίδα πόλιν ἐρήμην σταδίους ἐς τετρακο-
σίους, ἵνα τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι. καὶ φοί-

νικες ἄγριοι ἐπεφύκεσαν. τούτων τοὺς ἐγκεφάλους κό-
πτοντες ἐσιτέοντο· σῖτος γὰρ ἐπελελοίπει τὴν στρατιήν. 2
καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες ἔπλωον τήν τε ἡμέρην
καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ.
Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες 3
ἀπολίποιεν τὰς νέας ὑπὸ ἀθυμίης, ἐπὶ τῷδε μετεώρους
ἔσχε τὰς νέας ἐπ' ἀγκυρέων. ἐνθένδε ἀναχθέντες ἐς 4
Κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεν-
τήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐνθαῦτα
καὶ διώρυχες βραχέαι. ἐνθένδε σταδίους ὀκτακοσίους 5
πλώσαντες ἐν Τροΐσιν ὁρμίζονται, κῶμαι δὲ σμικραὶ καὶ
πονηραὶ ἐπῆσαν. καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ
οἰκία, αὐτοὶ δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ
βαλάνοισιν ἐκ φοινίκων. καὶ καμήλους ἑπτὰ ὅσαι
ἐγκατελήφθησαν κατακόψαντες, ἀπὸ τούτων ἐσιτέοντο.
ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριηκοσίους πλώουσι, 6
καὶ κατορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς
ἄνθρωποι ᾤκεον. ἐνθένδε ἄραντες τήν τε νύκτα καὶ 7
τὴν ἡμέρην οὐδέν τι ἐλινύοντες ἔπλωον, ἀλλὰ διελ-
θόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν ἐξέ-
πλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων, πολλὰ κακὰ ταύτῃ
παθόντες ἀπορίῃ τῶν ἀναγκαίων. ὁρμίζονται δὲ οὐ 8
πρὸς τῇ γῇ — ῥηχίη γὰρ ἦν ἐπὶ πολλὸν ἀνέχουσα —, ἀλλὰ
μετέωροι ἐπ' ἀγκυρέων· μῆκος τοῦ παραπλόου τῶν Ἰχθυο-
φάγων τῆς χώρης στάδιοι ὀλίγῳ πλεῦνες ἢ μύριοι. οὗ- 9
τοι οἱ Ἰχθυοφάγοι σιτέονται, κατ' ὅ τι περ καὶ κληίζον-
ται, ἰχθύας, ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας —
ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται καὶ τέχνη
ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων —, τὸ πολλὸν δὲ ἡ ἀνά-
πωτις αὐτοῖσι παρέχει. οἱ δὲ καὶ δίκτυα ἐπὶ τῷδε πε- 10
ποίηνται, μέγαθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ αὐτῶν.
πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέ-

11 φοντες τὸν φλοιὸν ὥσπερ λίνον. ἐπεὰν δὲ ἡ θάλασσα
ὑπονοστήσῃ, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπεται, ἐρήμη τὸ
πολλόν ἐστιν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστίν, ὑπολεί-
πεταί τι τοῦ ὕδατος καὶ ἐν τῷδε κάρτα πολλοὶ ἰχθύες·
οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ καὶ μέζονες.
12 τούτοισι περιβάλλοντες τὰ δίκτυα αἱρέουσι. σιτέονται
δὲ ὠμοὺς μέν, ὅκως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος, τοὺς
ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ σκληρο-
τέρους ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ' ἂν ἀπαυανθῶσι,
καταλεῦντες ἄλευρα ἀπ' αὐτῶν ποιέονται καὶ ἄρτους·
13 οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι. καὶ τὰ
βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέεται· ἡ γὰρ
14 χώρη ἐρήμη λειμώνων οὐδὲ ποίην φέρει. θηρεύουσι
δὲ καὶ καράβους πολλαχῇ καὶ ὄστρεα καὶ κογχύλια.
ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ χώρῃ * * ἀπὸ τούτων
15 ἔλαιον ποιέουσιν. οἱ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰ-
κέουσιν ἄδενδρόν τε τὴν χώρην καὶ ἄφορον καρπῶν
ἡμέρων — καὶ τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα
ποιέεται —, ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης,
[καὶ τούτῳ κατάπερ ὄψῳ χρέονται πρὸς τοὺς ἰχθύας·] ὁ
16 γὰρ σῖτος αὐτοῖσίν εἰσιν ἰχθύες. οἰκία δὲ ποιέονται
οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν ὅσα κήτεα ἐκβάλλει ἡ θά-
λασσα, τούτων τὰ ὀστέα ἐπιλεγόμενοι, καὶ τούτοισιν
ἀντὶ ξύλων χρεόμενοι. καὶ θύρας τὰ ὀστέα ὅσα πλατέα
αὐτῶν ποιέονται· τοῖσι δὲ πολλοῖσι καὶ πενεστέροισιν
ἀπὸ τῶν ἀκανθέων τῶν ἰχθύων τὰ οἰκία ποιέεται.

30 Κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ
2 ἰχθύες πολλῷ μέζονες ἢ ἐν τῇδε τῇ ἔσω. καὶ λέγει
Νέαρχος, ὁκότε ἀπὸ Κυΐζων παρέπλωον, ὑπὸ τὴν ἕω
ὀφθῆναι ὕδωρ τῆς θαλάσσης οἷά περ ἐκ πρηστήρων
3 βίᾳ ἀναφερόμενον, ἐκπλαγέντας δὲ σφᾶς πυνθάνεσθαι

τῶν κατηγεομένων τοῦ πλόου ὅ τι εἴη καὶ ἀπ' ὅτου
τοῦτο τὸ πάθημα· τοὺς δὲ ὑποκρίνασθαι ὅτι κήτεα
φερόμενα κατὰ τὸν πόντον ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ
ὕδωρ. καὶ τοῖσι ναύτῃσιν ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν
τὰ ἐρετμὰ ἐκπεσεῖν, αὐτὸς δὲ ἐπιὼν παρακαλέειν τε 4
καὶ θαρσύνειν, καὶ κατ' οὕστινας παραπλώων ἐγίνετο,
ἐς μέτωπόν τε κελεῦσαι καταστῆσαι ὡς ἐπὶ ναυ-
μαχίῃ τὰς νέας, καὶ ἐπαλαλάζοντας ὁμοῦ τῷ ὀρθίῳ πυ-
κνήν τε καὶ σὺν κτύπῳ πολλῷ τὴν εἰρεσίην ποιέεσθαι.
οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ πλώειν ἀπὸ συνθήμα- 5
τος. ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνθαῦτα αὐ-
τοὺς μὲν ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι,
τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον τὸν ἀπὸ τῆς εἰ-
ρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν. οὕτω δὴ ὁρεύμενα 6
ἤδη κατὰ τὰς πρῴρας τῶν νεῶν τὰ κήτεα ἐς βυσσὸν δῦ-
ναι ἐκπλαγέντα, καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς πρύμνας
ἀναδύντα ἀνασχεῖν καὶ τῆς θαλάσσης αὖθις ἀναφυ- 7
σῆσαι ἐπὶ μέγα. ἔνθεν κρότους τε ἐπὶ τῇ παραλόγῳ σω-
τηρίῃ γενέσθαι τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν Νέαρχον
τῆς τε τόλμης καὶ τῆς σοφίης. τούτων μετεξέτερα τῶν 8
κητέων ἐποκέλλειν πολλαχοῦ τῆς χώρης, ἐπειδὰν ἀνάπω-
τις κατάσχῃ, ἐν τοῖσι βραχέσιν ἐχόμενα, τὰ δὲ καὶ ὑπὸ
χειμώνων σκληρῶν ἐς τὴν χέρσον ἐξωθέεσθαι, καὶ οὕτω
δὴ κατασηπόμενα ἀπόλλυσθαί τε καὶ τὰς σάρκας αὐτοῖσι
περιρρεούσας ὑπολείπειν τὰ ὀστέα χρᾶσθαι τοῖσιν ἀν-
θρώποισιν ἐς τὰ οἰκία. εἶναι ὦν τὰ μὲν ἐν τῇσι πλευ- 9
ρῇσιν αὐτῶν ὀστέα δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα,
τὰ δὲ σμικρότερα στρωτῆρας· τὰ δὲ ἐν τῇσι σιαγόσι,
ταῦτα δὲ εἶναι τὰ θύρετρα, οἷα δὴ πολλῶν καὶ ἐς εἴκοσι
καὶ πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγαθος.

εὖτε δὲ παρέπλωον τὴν χώρην τὴν Ἰχθυοφάγων, 31
λόγον ἀκούουσι περὶ νήσου τινός, ἣ κέεται μὲν ἀπέχουσα

τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δέ ἐστιν
2 οἰκητόρων. ταύτην ἱρὴν Ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώ-
ριοι καὶ Νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταί-
ρειν ἐθέλειν ἐς αὐτήν· ὅστις δὲ ἂν ἀπειρίῃ προσσχῇ, γί-
3 νεσθαι ἀφανέα. ἀλλὰ λέγει Νέαρχος κέρκουρόν σφιν
ἕνα πλήρωμα ἔχοντα Αἰγυπτίων οὐ πόρρω τῆς νήσου
ταύτης γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμό-
νας τοῦ πλόου ἰσχυρίζεσθαι ὅτι ἄρα κατάραντες ὑπ'
4 ἀγνοίης ἐς τὴν νῆσον γένοιντο ἀφανέες. Νέαρχος δὲ
πέμπει κύκλῳ περὶ τῆν νῆσον τριηκόντορον, κελεύσας
μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοῖς ἀνθρώ-
ποις ὡς μάλιστα ἐν χρῷ παραπλώοντας, καὶ τὸν κυβερ-
νήτην οὐνομάζοντας καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔ-
5 νομα. ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὴ αὐτὸς λέγει
πλῶσαι ἐς τὴν νῆσον, καὶ κατασχεῖν προσαναγκάσαι
τοὺς ναύτας οὐκ ἐθέλοντας, καὶ ἐκβῆναι αὐτὸς καὶ ἐλέγ-
6 ξαι κενὸν μῦθον ἐόντα τὸν περὶ τῇ νήσῳ λόγον. ἀκοῦ-
σαι δὲ καὶ ἄλλον λόγον λεγόμενον, οἰκῆσαι τὴν νῆσον
ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ οὔνομα οὐ λέγε-
σθαι τῆς Νηρηίδος. ταύτῃ δὲ ὅστις πελάσειε, τούτῳ
δὲ συγγίνεσθαι μέν, ἰχθὺν δὲ αὐτὸν ἐξ ἀνθρώπου
7 ποιέουσαν ἐμβάλλειν ἐς τὸν πόντον. Ἥλιον δὲ ἀχθεσ-
θέντα τῇ Νηρηίδι κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ
τῆς νήσου· τὴν δὲ ὁμολογέειν μὲν ὅτι ἐξοικισθή-
σεται, δέεσθαι δέ οἱ τὸ πάθημα παυθῆναι, καὶ τὸν
8 Ἥλιον ὑποδέξασθαι· τοὺς δὲ δὴ ἀνθρώπους οὕσ-
τινας ἰχθύας ἐξ ἀνθρώπων ἐπεποιήκει κατελεήσαντα ἀν-
θρώπους αὖθις ἐξ ἰχθύων ποιῆσαι, καὶ ἀπὸ τούτων
τῶν Ἰχθυοφάγων τὸ γένος καὶ ἐς Ἀλέξανδρον κατελθεῖν.
9 καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινέω
αὐτὸν ἔγωγε τῆς σχολῆς τε καὶ σοφίης, οὔτε κάρτα χαλεπὰ
ἐξελεγχθῆναι ἐόντα, ταλαίπωρόν τι ἐὸν γινώσκων

τοὺς παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ἐόντας
ψευδέας.

ὑπὲρ δὲ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰ- 32
κέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα, ἔνθα καὶ τὰ πολλὰ
κακὰ ἥ στρατιή τε Ἀλεξάνδρῳ ἔπαθε καὶ αὐτὸς Ἀλέξαν-
δρος, ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ λόγῳ ἀπήγηται. ὡς δὲ ἐς 2
τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρα-
τός, ἐνθαῦτα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο,
ἐπ' ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ
πέλαγος τρηχέα. ἐνθένδε οὐκέτι ὡσαύτως πρὸς ἡλίου 3
δυομένου ἔπλωον, ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου
καὶ τῆς ἄρκτου μᾶλλόν τι αἱ πρῶραι αὐτοῖσιν ἐπεῖχον.
καὶ ἡ Καρμανίη τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν 4
Ὠρειτέων εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστί, καὶ
ποιώδης μᾶλλόν τι καὶ εὔυδρος. ὁρμίζονται δὲ ἐν Βάδει 5
χώρῳ τῆς Καρμανίης οἰκεομένῳ, δένδρεά τε πολλὰ
ἥμερα ἔχοντι πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθάς, καὶ
σιτοφόρῳ. ἐνθένδε ὁρμηθέντες καὶ διεκπλώσαντες στα- 6
δίους ὀκτακοσίους, πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ, καὶ
κατορέουσιν ἄκρην μακρὴν ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ
πέλαγος· ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης.
καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες Ἀραβίης ἔλε- 7
γον τὴν ἀνέχουσαν ταύτην ἄκρην, καλέεσθαι δὲ Μά-
κετα· ἔνθεν τὰ κιννάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς
Ἀσσυρίους ἀγινέεσθαι. καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, 8
ἵναπερ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥντινα καταν-
τικρὺ ἀπεώρων ανέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος — ἐμοί
τε δοκέει καὶ Νεάρχῳ ὡσαύτως ἐδόκεεν — ἐς τὸ ἔσω ἀνα-
χέεται, ὅπερ οἰκὸς ἡ Ἐρυθρὴ θάλασσα. ταύτην τὴν 9
ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ' αὐ-
τὴν πλώειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρεῦν-
τας ταλαιπωρέεσθαι. Νέαρχος δὲ ὑποκρίνεται νή- 10

κιον εἶναι Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπ' ὅτῳ ἐστάλη πρὸς
11 Ἀλεξάνδρου ὁ στόλος. οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῇ
διασωθῆναι πάντα αὐτῷ τὸν στρατόν, ἐπὶ τῷδε ἄρα ἐκ-
πέμψαι τὰς νέας, ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ
τὸν παράπλοον κατασκέψασθαι καὶ ὅρμους καὶ νησῖδας,
καὶ ὅστις κόλπος ἐσέχοι, ἐκπεριπλῶσαι τοῦτον, καὶ πό-
λιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ καὶ εἴ
12 τις ἐρήμη. σφᾶς ὦν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον,
πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπό-
ρως ἔτι τῶν ἀναγκαίων ἐν τῷ παραπλόῳ ἔχοντας. δεδιέ-
ναι τε, ἐπεὶ ἡ ἄκρη ἐς μεσαμβρίην ἀνέχοι, μὴ ἐρήμῃ τε τῇ
13 ταύτῃ γῇ καὶ ἀνύδρῳ καὶ φλογώδεϊ ἐγκύρσειαν. ταῦτα
ἐνίκα, καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν
τῇδε τῇ βουλῇ Νέαρχος· τὴν γὰρ δὴ ἄκρην ἐκείνην καὶ
τὴν πρὸς αὐτῇ χώρην πᾶσαν ἐρήμην τε εἶναι λόγος κα-
τέχει καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι.

33 ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες τῇ γῇ
προσεχέες, καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους ἐν
ἄλλῳ αἰγιαλῷ ὡρμίσαντο· Νεόπτανα οὔνομα τῷ αἰγιαλῷ.
2 καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο, καὶ πλώσαντες στα-
δίους ἑκατὸν ὁρμίζονται κατὰ ποταμὸν Ἄναμιν· ὁ δὲ
χῶρος Ἁρμόζεια ἐκαλέετο. δαψιλέα δὲ ἤδη καὶ πάμφορα
3 τὰ ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐκ ἐπεφύκεσαν. ἐνθαῦτα ἐκβαί-
νουσί τε ἐκ τῶν νεῶν καὶ ἀπὸ τῶν πολλῶν πόνων ἄσμε-
νοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν θάλασ-
σαν πεπονθότες ἦσαν καὶ πρὸς τῇ γῇ τῇ Ἰχθυοφάγων,
τήν τε ἐρημίην τῆς χώρης, καὶ τοὺς ἀνθρώπους ὅκως
4 θηριώδεες, καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι. καί
τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, ἀπο-
σκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου.
5 ἐνθαῦτα ἄνθρωπός σφισιν ὤφθη χλαμύδα τε φορέων
Ἑλληνικὴν καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ

φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες δα-
κρῦσαι ἔλεγον· οὕτω τι παράλογόν σφισι φανῆναι ἐκ
τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλ-
λάδος δὲ φωνῆς ἀκοῦσαι. ἐπηρώτων τε ὁκόθεν ἥκοι 6
καὶ ὅστις ἐών· ὃ δὲ ἀπὸ τοῦ στρατοπέδου τοῦ Ἀλεξάν-
δρου ἀποσκεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρα-
τόπεδον καὶ αὐτὸν Ἀλέξανδρον. τοῦτον τὸν ἄνθρωπον 7
βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον·
καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν
ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσσης.
τόν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νεάρχῳ, 8
καὶ ἔδειξε· καὶ μετὰ τούτου Νέαρχος γνώμην ποιέεται,
ὅκως ἀναβήσεται πρὸς τὸν βασιλέα. τότε μὲν δὴ ἐπὶ τὰς 9
νέας ἀπῆλθεν· ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἐνεώλκεεν, ἐπι-
σκευῆς τε εἵνεκα, ὅσαι αὐτέων κατὰ τὸν πλόον ἐπεπονή-
κεσαν, καὶ ἅμα ὅτι ἐν τῷ χώρῳ τούτῳ ὑπολείπεσθαί οἱ
ἐδόκεε τὸν πολλὸν στρατόν. χάρακά τε ὦν περιβάλ- 10
λεται διπλόον τῷ ναυστάθμῳ, καὶ τεῖχος γήινον καὶ
τάφρον βαθέαν, ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος
ἔστε ἐπὶ τὸν αἰγιαλόν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι
ἦσαν.

ἐν ᾧ δὲ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ 34
ὕπαρχος πεπυσμένος ὅκως ἐν μεγάλῃ φροντίδι ἔχοι Ἀλέ-
ξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἐξ Ἀλε-
ξάνδρου ἀγαθὸν ἔγνω πείσεσθαι, εἰ πρῶτός οἱ ἀπαγ-
γείλειε τοῦ στρατοῦ τὴν σωτηρίην καὶ τὸν Νέαρχον ὅτι οὐ
πολλῷ ὕστερον ἀπίξεται ἐς ὄψιν τὴν τοῦ βασιλέος. οὕτω 2
δὴ τὴν βραχυτάτην ἐλάσας ἀπαγγέλλει Ἀλεξάνδρῳ ὅτι
Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν δὴ καί-
περ ἀπιστέων τῷ λόγῳ Ἀλέξανδρος, ἀλλὰ ἐχάρη γε κατὰ
τὸ οἰκὸς τῇ ἀγγελίῃ· ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγί- 3
νετο, καὶ συντιθέντι αὐτῷ τῆς ἀγγελίης τὸν χρόνον οὐ-

σαντάς τινας τῶν ναυτέων ἐκμετρῆσαι καὶ φάναι εἶναι
5 πήχεων πεντήκοντα· δέρμα δὲ αὐτῷ εἶναι φολιδωτόν,
οὕτω τι ἐς βάθος ἧκον, ὥστε καὶ ἐπὶ πῆχυν ἐπέχειν·
ὄστρεά τε καὶ λοπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα.
καὶ δελφῖνάς λέγει ὅτι κατορᾶν ἦν πολλοὺς ἀμφὶ τῷ κήτεϊ,
6 καὶ τῶν ἐν τῇ ἔσω θαλάσσῃ μέζονας τοὺς δελφῖνας. ἐν-
θένδε ὁρμηθέντες κατάγονται ἐς Ῥόγονιν ποταμὸν χει-
μάρροον ἐν λιμένι εὐόρμῳ· μῆκος τοῦ παραπλόου στά-
7 διοι διηκόσιοι. ἐνθένδε τετρακοσίους σταδίους διεκ-
πλώσαντες αὐλίζονται ἐν ποταμῷ χειμαρρόῳ· Βρίζανα
τῷ ποταμῷ οὔνομα. ἐνθαῦτα χαλεπῶς ὡρμίσαντο, ὅτι
ῥηχίη ἦν καὶ βραχέα, καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖ-
8 χον. ἀλλὰ ὅτε ἡ πλήμμυρα ἐπήει, τότε ὡρμίσαντο·
ὑπονοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηροῦ ὑπελείφθησαν
αἱ νέες. ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξι ἀμείβουσα ἐπανῆλθε,
9 τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ· οὔνομα
δὲ τῷ ποταμῷ Ὀροάτις. μέγιστος δὲ τῶν ποταμῶν, ὡς λέ-
γει Νέαρχος, ὅσοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν ἐς
τὸν ἔξω πόντον.

40 μέχρι τοῦδε Πέρσαι οἰκέουσι, τὰ δὲ ἀπὸ τοῦδε
Σούσιοι. Σουσίων δὲ ἄλλο ἔθνος αὐτόνομον κατύπερθε
προσοικέει· Οὔξιοι καλέονται, ὑπὲρ ὅτων λέλεκταί μοι
ἐν τῇ ἄλλῃ συγγραφῇ ὅτι λῃσταί εἰσι. μῆκος τοῦ παρα-
πλόου τῆς Περσίδος χώρης στάδιοι τετρακόσιοι καὶ τετρα-
2 κισχίλιοι. τὴν δὲ Περσίδα γῆν τριχῇ νενεμῆσθαι τῶν
ὡρέων λόγος κατέχει. τὸ μὲν αὐτῆς πρὸς τῇ Ἐρυθρῇ θα-
λάσσῃ οἰκεόμενον ψαμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ
3 καύματος, τὰ δὲ ἀπὸ τοῦδε ὡς πρὸς ἄρκτον τε καὶ βο-
ρέην ἄνεμον ἰόντων καλῶς κεκρᾶσθαι τῶν ὡρέων, καὶ
τὴν χώρην ποιώδεά τε εἶναι καὶ λειμῶνας ὑδρηλοὺς καὶ
ἄμπελον πολλὴν φέρειν καὶ ὅσοι ἄλλοι καρποί, πλὴν
4 ἐλαίης· παραδείσοισί τε παντοίοισι τεθηλέναι, καὶ πο-

ἀναλαβόντες δὲ αὐτοὺς ἐπὶ τὰς ἀπήνας ὀπίσω ἤλαυ- 35
νον. καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελήσαντες
τὴν ἀγγελίην, προδραμόντες λέγουσιν Ἀλεξάνδρῳ ὅτι
"οὗτός τοι Νέαρχος, καὶ σὺν αὐτῷ Ἀρχίης καὶ πέντε ἄλ-
λοι κομίζονται παρὰ σέ," ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς
οὐδὲν εἶχον ὑποκρίνασθαι. τοῦτο ἐκεῖνο συνθεὶς Ἀλέ- 2
ξανδρος, τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρατιὴν
δὲ πᾶσαν διεφθάρθαι αὐτῷ, οὐ τοσόνδε Νεάρχου τε
καὶ Ἀρχίεω τῇ σωτηρίῃ ἔχαιρεν, ὅσον ἐλύπεεν αὐτὸν
ἀπολομένη ἡ στρατιὴ πᾶσα. οὔπω πάντα εἴρητο, 3
καὶ Νέαρχός τε καὶ Ἀρχίης προσῆγον. τοὺς δὲ μόλις
καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος· ὅτι τε κομόωντας καὶ
κακῶς ἐσταλμένους κατεώρα, ταύτῃ μᾶλλόν τι βεβαιότε-
ρον αὐτῷ τὸ ἄχος ὑπὲρ τῆς στρατιῆς τῆς ναυτικῆς ἐγί-
νετο. ὃ δὲ τὴν δεξιὴν Νεάρχῳ ἐμβαλὼν καὶ ἀπαγα- 4
γὼν μοῦνον ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν ὑπασπι-
στέων, πολλὸν χρόνον ἐδάκρυεν· ὀψὲ δὲ ἀνενεγκὼν 5
"ἀλλὰ σύγε ἡμῖν ὅτι ἐπανήκεις σῶος" ἔφη "καὶ Ἀρχίης
οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως·
αἱ δέ τοι νέες καὶ ἡ στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρη-
σαν;" ὃ δὲ ὑπολαβών "ὦ βασιλεῦ," ἔφη "καὶ αἱ νέες 6
τοι σῶαί εἰσι καὶ ὁ στρατός· ἡμεῖς δὲ αὐτάγγελοι τῆς
σωτηρίης αὐτῶν ἥκομεν." ἔτι μᾶλλον ἐδάκρυεν Ἀλέ- 7
ξανδρος, κατ' ὅτι ἀνέλπιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ
ἐφαίνετο· καὶ ὅκου ὁρμέουσιν αἱ νέες ἀνηρώτα. ὃ δὲ
"αὗται" ἔφη "ἐν τῷ στόματι τοῦ Ἀνάμιδος ποταμοῦ
ἀνειρυσμέναι ἐπισκευάζονται." Ἀλέξανδρος δὲ τόν τε 8
Δία τὸν Ἑλλήνων καὶ τὸν Ἄμμωνα τὸν Λιβύων ἐπόμνυ-
σιν, ἦ μὲν μεζόνως ἐπὶ τῇδε τῇ ἀγγελίῃ χαίρειν ἢ ὅτι
τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔχει. καὶ γὰρ τὸ ἄχος οἱ
τὸ ἐπὶ τῇ ἀπωλείῃ τῆς στρατιῆς ἀντίρροπον γενέσθαι
τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ.

36 ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅντινα συνειλήφει Ἀλέ-
ξανδρος ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρεόντα κατ-
ιδὼν τὸν Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γούνατα,
2 καὶ "οὗτός τοι" ἔφη "ἐγώ εἰμι, ὃς ἀπήγγειλα Ἀλε-
ξάνδρῳ ὅτι σῷοι ἥκετε· ὁρᾷς ὅκως διάκειμαι." οὕτω δὴ
δέεται Ἀλεξάνδρου Νέαρχος ἀπεῖναι τὸν ἄνδρα, καὶ
3 ἀπίεται. Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ
Σωτῆρι καὶ Ἡρακλέι καὶ Ἀπόλλωνι Ἀλεξικάκῳ καὶ Πο-
σειδῶνί τε καὶ ὅσοι ἄλλοι θαλάσσιοι θεοί, καὶ ἀγῶνα
ἐποίεε γυμνικόν τε καὶ μουσικόν, καὶ πομπὴν ἔπεμπε·
καὶ Νέαρχος ἐν πρώτοισιν ἐπόμπευε, ταινίῃσί τε καὶ ἄν-
4 θεσι πρὸς τῆς στρατιῆς βαλλόμενος. ὡς δὲ ταῦτά οἱ
τέλος εἶχε, λέγει πρὸς Νέαρχον "ἐγώ σε, ὦ Νέαρχε,
οὐκέτι ἐθέλω τὸ πρόσω οὔτ' ὦν κινδυνεύειν οὔτε τα-
λαιπωρέεσθαι, ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται
5 τὸ ἀπὸ τοῦδε, ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα." Νέαρ-
χος δὲ ὑπολαβὼν λέγει "ὦ βασιλεῦ, ἐγὼ μέν τοι πάντα
πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοί ἐστιν. ἀλλὰ εἰ δή
τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλεις, μὴ ποιήσῃς ὧδε, ἀλλά
με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔστ' ἂν
6 σοι σφας καταστήσω ἐς Σοῦσα τὰς νέας. μηδὲ τὰ μὲν
χαλεπά τε καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ
ἔστω, τὰ δὲ εὐπετέα τε καὶ κλέεος ἤδη ἐχόμενα ἑτοίμου,
7 ταῦτα δὲ ἀπαιρεθέντα ἄλλῳ ἐς χεῖρας διδόσθω." ἔτι
λέγοντα παύει Ἀλέξανδρος, καὶ χάριν προσωμο-
λόγεεν εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτόν, στρατιὴν
8 δοὺς ἐς παραπομπὴν ὡς διὰ φιλίης ἰόντι ὀλίγην. τῷ
δὲ οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγέ-
νετο, ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι τὰ ἐρυ-
μνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι ὁ σα-
τράπης αὐτοῖσι ἐτετελευτήκει κατὰ πρόσταξιν Ἀλεξάν-
δρου, ὁ δὲ νεωστὶ κατεστηκὼς Τληπόλεμος οὔπω βέβαιον

τὸ κράτος εἶχε. δὶς ὦν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλ- 9
λοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖ-
ρας ἤεσαν, καὶ οὕτως οὐδέν τι ἐλινύσαντες μόλις καὶ
χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. ἐνθαῦτα θύει Νέ-
αρχος Διὶ Σωτῆρι καὶ ἀγῶνα ποιέει γυμνικόν.

ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ ἐπεποίητο, οὕτω δὴ 37
ἀνήγοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τρη-
χέαν ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκεο-
μένῃ, πλώσαντες σταδίους τριηκοσίους ἔνθενπερ ὡρ-
μήθησαν. καὶ ἡ μὲν ἐρήμη νῆσος Ὄργανα ἐκαλέετο, ἐς 2
ἣν δὲ ὡρμίσθησαν Ὀάρακτα. ἄμπελοί τε ἐν αὐτῇ ἐπε-
φύκεσαν καὶ φοίνικες, καὶ σιτοφόρος ἦν· τὸ δὲ μῆκος
τῆς νήσου στάδιοι ὀκτακόσιοι. καὶ ὁ ὕπαρχος τῆς νήσου
Μαζήνης συνέπλωεν αὐτοῖσι μέχρι Σούσων, ἐθελοντὴς
ἡγεμὼν τοῦ πλόου. ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ 3
πρώτου δυναστεύσαντος τῆς χώρης ταύτης δείκνυσθαι
τὸν τάφον· οὔνομα δὲ αὐτῷ Ἐρύθρην εἶναι, ἀπ' ὅτου
καὶ τὴν ἐπωνυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι. ἐνθένδε 4
ἄραντες ἔπλωον· καὶ τῆς νήσου παραπλώσαντες ὅσον
διηκοσίους σταδίους ὁρμίζονται ἐν αὐτῇ αὖθις, καὶ
κατορέουσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης
ταύτης τεσσαράκοντα μάλιστα σταδίους. Ποσειδῶνος
ἱρὴ ἐλέγετο εἶναι καὶ ἄβατος. ὑπὸ δὲ τὴν ἕω ἀνήγοντο, 5
καὶ καταλαμβάνει αὐτοὺς ἀνάπωτις οὕτω τι καρτερή,
ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῷ ξηρῷ
ἐσχέθησαν, αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι τὰς
ῥηχίας ἐς τὰ βάθεα ἀπεσώθησαν. αἱ δὲ ἐποκείλασαι 6
τῆς πλημμυρίδος ἐπιγενομένης αὖθις ἐξέπλωσάν τε
καὶ δευτεραῖαι κατήγοντο ἵναπερ ὁ πᾶς στόλος. ὁρμί- 7
ζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου
ὅσον τριηκοσίους σταδίους, πλώσαντες τετρακοσίους.
ἐνθεῦτεν ὑπὸ τὴν ἕω ἔπλωον, νῆσον ἐρήμην ἐν ἀρι-

στερῇ παραμείβοντες· οὔνομα δὲ τῇ νήσῳ Πύλωρα. καὶ
ὁρμίζονται πρὸς Σισιδώνῃ, πολιχνίῳ σμικρῷ καὶ πάντων
ἀπόρῳ, ὅτι μὴ ὕδατος καὶ ἰχθύων· ἰχθυοφάγοι γὰρ καὶ
οὗτοι ὑπ' ἀναγκαίης ἦσαν, ὅτι πονηρὴν γῆν νέμονται.
9 ἐνθένδε ὑδρευσάμενοι καταίρουσιν ἐς Ταρσίην ἄκρην
ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριη-
10 κοσίους. ἐνθένδε ἐς Καταίην, νῆσον ἐρήμην, ἀλιτενέα·
αὕτη ἱρὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ
11 πλόου τριηκόσιοι. ἐς ταύτην ὅσα ἔτη ἀπίεται ἐκ τῶν
περιοίκων πρόβατα καὶ αἶγες ἱρὰ τῷ Ἑρμέῃ καὶ τῇ Ἀφρο-
δίτῃ, καὶ ταῦτα ἀπηγριωμένα ἦν ὁρᾶν ὑπὸ χρόνου τε
καὶ ἐρημίης.

38 μέχρι τοῦδε Καρμανίη· τὰ δὲ ἀπὸ τοῦδε Πέρσαι
ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίων χώρην
στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ
Πέρσαι, ὅτι καὶ ὅμουροί εἰσι Πέρσῃσι· καὶ τὰ ἐς τὸν
2 πόλεμον ὡσαύτως κοσμέονται. ἐνθένδε ἄραντες παρὰ
τὴν Περσίδα ἤδη ἔπλωον, καὶ κατάγονται ἐς Ἴλαν
χῶρον, ἵνα λιμὴν πρὸς νήσου σμικρῆς καὶ ἐρήμης
γίνεται· οὔνομα τῇ νήσῳ Καΐκανδρος, ὁ δὲ πλόος
3 στάδιοι τετρακόσιοι. ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον
πλώσαντες ὁρμίζονται οἰκεομένην, ἵνα καὶ μαργα-
ρίτην θηρᾶσθαι λέγει Νέαρχος κατάπερ ἐν τῇ Ἰνδῶν
θαλάσσῃ. ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώσαντες
4 σταδίους ὡς τεσσαράκοντα, ἐνθαῦτα ὡρμίσθησαν. ἐν-
θένδε πρὸς οὔρεϊ ὁρμίζονται ὑψηλῷ — Ὦχος οὔνομα τῷ
5 οὔρεϊ — ἐν λιμένι εὐόρμῳ, καὶ ἁλιέες αὐτόθι ᾤκεον. καὶ
ἔνθεν πλώσαντες σταδίους τετρακοσίους τε καὶ πεντή-
κοντα, ὁρμίζονται ἐν Ἀποστάνοισι· καὶ πλοῖα πολλὰ αὐ-
τόθι ὥρμεε, κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης στα-
6 δίους ἑξήκοντα. νυκτὸς δὲ ἄραντες ἐνθεῦτεν ἐσπλώουσιν
ἐς κόλπον συνοικεόμενον πολλῇσι κώμῃσι. στάδιοι τοῦ

πλόου τετρακόσιοι· ὁρμίζονται δὲ πρὸς ὑπωρείῃ. ταύτῃ
φοίνικές τε πολλοὶ ἐπεφύκεσαν καὶ ὅσα ἄλλα ἀκρόδρυα
ἐν τῇ Ἑλλάδι φύεται. ἐνθένδε ἄραντες ἐς Γώγανα 7
παραπλώουσι σταδίους μάλιστα ἐς ἑξακοσίους ἐς χώρην
οἰκεομένην· ὁρμίζονται δὲ ποταμοῦ χειμαρρόου — οὔνομα
δέ οἱ Ἀρεών — ἐν τῇσιν ἐκβολῇσιν. ἐνθαῦτα χαλεπῶς
ὁρμίζονται· στεινὸς γὰρ ἦν ὁ ἔσπλοος κατὰ τὸ στόμα,
ὅτι βραχέα τὰ κύκλῳ αὐτοῦ ἡ ἀνάπωτις ἐποίεε. καὶ ἔν- 8
θεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώ-
σαντες σταδίους ἐς ὀκτακοσίους· Σιτακὸς οὔνομα τῷ πο-
ταμῷ ἦν. ἀλλὰ οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται, καὶ
ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα βραχέα τε ἦν
καὶ ῥηχίη καὶ τενάγεα. ἐνθαῦτα σῖτον καταλαμβάνουσι 9
πολλὸν συγκεκομισμένον κατὰ πρόσταξιν τοῦ βασιλέος,
ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι· ἐνθαῦτα ἔμειναν ἡμέρας
τὰς πάσας μίαν καὶ εἴκοσι, καὶ τὰς νέας ἀνειρυσάμενοι,
ὅσαι μὲν ἐπεπονήκεσαν ἐπεσκεύαζον, τὰς δὲ ἄλλας ἐθε-
ράπευον.

ἐνθένδε ὁρμηθέντες ἐς Ἱέρατιν πόλιν ἀπίκοντο, ἐς 39
χῶρον οἰκεόμενον. ἑπτακόσιοι καὶ πεντήκοντα στάδιοι
ὁ πλόος· ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ
ἐμβεβλημένῃ ἐς θάλασσαν, ᾗ οὔνομα ἦν Ἡράτεμις. ἅμα 2
δὲ ἡλίῳ ἀνίσχοντι παραπλώουσιν ἐς ποταμὸν χειμάρ-
ροον, οὔνομα Πάδαργον, ὁ δὲ χῶρος χερσόνησος ἅπας.
καὶ ἐν αὐτῷ κῆποί τε πολλοὶ καὶ ἀκρόδρυα παντοῖα
ἐφύετο· οὔνομα τῷ χώρῳ Μεσαμβρίη. ἐκ Μεσαμβρίης 3
δὲ ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς
διηκοσίους ἐς Ταόκην ὁρμίζονται ἐπὶ ποταμῷ Γράνιδι.
καὶ ἀπὸ τούτου ἐς τὸ ἄνω τὰ Περσέων βασιλήια ἦν, ἀπέ-
χοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διηκοσίους.
κατὰ τοῦτον τὸν παράπλοον λέγει Νέαρχος ὀφθῆναι 4
κῆτος ἐκβεβλημένον ἐς τὴν ἠιόνα, καὶ τοῦτο προσπλώ-

ΑΡΡΙΑΝΟΥ ΚΥΝΗΓΕΤΙΚΟΣ

Τοῦ Ἀρριανοῦ Κυνηγετικοῦ κεφάλαια.

ταμοῖσι καθαροῖσι διαρρέεσθαι καὶ λίμνῃσι, καὶ ὄρ-
νισιν ὁκόσοισιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ
ἤθεα ἵπποισί τε ἀγαθὴν εἶναι, καὶ τοῖσιν ἄλλοισιν ὑπο-
ζυγίοισι νέμεσθαι, καὶ ὑλώδεά τε πολλαχῇ καὶ πολύθη-
ρον. τὴν δὲ πρόσω ἔτι ἐπ' ἄρκτον ἰόντων χειμερίην 5
τε καὶ νιφετώδεα, ὥστε πρέσβεας τινὰς ἐκ τοῦ Εὐξεί-
νου πόντου λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόν-
τας ἐντυχεῖν κατὰ τὴν ὁδὸν ἰόντι τῆς Περσίδος καὶ θῶμα
γενέσθαι Ἀλεξάνδρῳ, καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ
τὴν βραχύτητα. Σουσίοισι δὲ πρόσοικοι ὅτι εἰσὶν Οὔξιοι 6
λέλεκταί μοι, κατάπερ Μάρδοι μὲν Πέρσῃσι προσεχέες
οἰκέουσι, λῃσταὶ καὶ οὗτοι, Κοσσαῖοι δὲ Μήδοισι. καὶ 7
πάντα ταῦτα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος
ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώρην
ἦγον. καὶ πόλιας ἐπέκτισε τοῦ μὴ νομάδας ἔτι εἶναι 8
ἀλλὰ ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων
δειμαίνοντες μὴ κακὰ ἀλλήλους ἐργάσονται. ἐνθένδε
τὴν Σουσίων γῆν παρήμειβεν ὁ στρατός. καὶ ταῦτα 9
οὐκέτι ὡσαύτως ἀτρεκέως λέγει Νέαρχος ὅτι ἔστιν οἱ ἐκ-
φράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ
πλόου· τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολ- 10
λὴν καὶ ῥηχίησιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐπέχουσαν,
καὶ ταύτῃ σφαλερὴν ἐγκατορμίζεσθαι. πελαγίοισιν ὦν
σφίσι τὴν κομιδὴν τὸ πολλὸν γενέσθαι. ὁρμηθῆναι μὲν 11
δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵναπερ ηὐλίσθησαν
ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος, ὕδωρ δὲ ἐμβαλέσθαι
πέντε ἡμερέων· οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ κατη-
γεμόνες τοῦ πλόου.

σταδίους δὲ πεντακοσίους κομισθέντες ὁρμίζονται 41
ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ᾗ οὔνομα Κατάδερβις·
καὶ νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα τῇ νησῖδι οὔ-
νομα. ἐνθένδε δὲ ὑπὸ τὴν ἕω ἐκπλώσαντες κατὰ βραχέα 2

ἐκομίζοντο ἐπὶ μιῆς νεός· πασσάλοισι δὲ ἔνθεν καὶ ἔν-
θεν πεπηγόσιν ἀπεδηλοῦτο τὰ βραχέα, κατάπερ ἐν τῷ
μεσσηγὺς Λευκάδος τε νήσου ἰσθμῷ καὶ Ἀκαρνανίης
ἀποδέδεικται σημήια τοῖσι ναυτιλλομένοισι τοῦ μὴ ἐπο-
3 κέλλειν ἐν τοῖσι βραχέσι τὰς νέας. ἀλλὰ τὰ μὲν κατὰ
Λευκάδα ψαμμώδεα ἐόντα τοῖσιν ἐποκείλασι ταχέαν
τὴν ὑπονόστησιν ἐνδιδοῖ· κεῖθι δὲ πηλός ἐστιν ἐπ' ἑκά-
τερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης, ὥστε οὐδεμιῇ
4 μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. οὔτε γὰρ κοντοὶ
κατὰ τοῦ πηλοῦ δύνοντες αὐτοῖς οὐδέν τι ἐπωφέλεον,
ἀνθρώποις τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς νέας ἐς τὰ πλεό-
μενα ἄπορον ἐγίνετο· ἔδυνον γὰρ κατὰ τοῦ πηλοῦ ἔστε
5 ἐπὶ τὰ στήθεα. οὕτω δὴ χαλεπῶς διεκπλώσαντες ἐς
σταδίους ἑξακοσίους κατὰ νέα ἕκαστοι ὁρμισθέντες, ἐν-
6 θαῦτα δείπνου ἐμνήσθησαν. τὴν νύκτα δὲ ἤδη κατὰ
βάθεα ἔπλωον καὶ τὴν ἐπεξῆς ἡμέρην ἔστε ἐπὶ βουλυ-
τόν· καὶ ἦλθον σταδίους ἐνακοσίους, καὶ κατωρμίσθη-
σαν ἐπὶ τῷ στόματι τοῦ Εὐφράτεω πρὸς κώμῃ τινὶ τῆς
7 Βαβυλωνίης χώρης — οὔνομα δὲ αὐτῇ Διρίδωτις —, ἵνα
λιβανωτόν τε ἀπὸ τῆς πέριξ γῆς οἱ ἔμποροι ἀγινέουσι
8 καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει. ἀπὸ
δὲ τοῦ στόματος τοῦ Εὐφράτεω ἔστε ἐπὶ Βαβυλῶνα
λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τριη-
κοσίους.

42 ἐνθαῦτα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλ-
λεσθαι. ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλωον, ὡς κατὰ τὸν
Πασιτίγριν ποταμὸν ἀναπλώσαντες συμμῖξαι Ἀλεξάν-
2 δρῳ. ἔπλωον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερῇ τὴν γῆν τὴν
Σουσίδα ἔχοντες, καὶ παραπλώουσι λίμνην, ἐς ἣν ὁ Τί-
3 γρης ἐσβάλλει ποταμός, ὃς ῥέων ἐξ Ἀρμενίων παρὰ
πόλιν Νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν
μέσην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτεω ποταμοῦ — ἣν Μεσο-

ποταμίην ἐπὶ τῷδε κληίζεσθαι — ἀπείργει. ἀπὸ δὲ τῆς 4
λίμνης ἐς αὐτὸν τὸν ποταμὸν στάδιοι ἑξακόσιοι, ἵνα
καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν· αὕτη δὲ
ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους. μῆκος τοῦ πα-
ραπλόου τῆς Σουσίων γῆς ἔστε ἐπὶ τὸ στόμα τοῦ Πασι-
τίγριδος ποταμοῦ στάδιοι δισχίλιοι. ἐνθένδε κατὰ τὸν 5
Πασιτίγριν ἀνέπλωον διὰ χώρης οἰκεομένης καὶ εὐ-
δαίμονος. ἀναπλώσαντες δὲ σταδίους ὡς πεντήκοντα καὶ
ἑκατὸν ὁρμίζονται, προσμένοντες οὕστινας ἐστάλκει
Νέαρχος σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. αὐτὸς δὲ 6
ἔθυε θεοῖσι τοῖσι σωτῆρσι, καὶ ἀγῶνα ἐποίεε, καὶ ἡ
στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν. ὡς δὲ 7
προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλωον αὖθις ἐς
τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζον-
ται, ἐπ᾽ ἧς τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλεξαν-
δρος ἐς Σοῦσα. ἐνθαῦτα ἀνεμίγη ὁ στρατός, καὶ θυσίαι 8
πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ τῶν ἀν-
θρώπων τῇ σωτηρίῃ, καὶ ἀγῶνες ἐποιέοντο· καὶ Νέαρ-
χος ὅκου παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε καὶ ται-
νίῃσιν ἐβάλλετο. ἔνθα καὶ χρυσέῳ στεφάνῳ στεφανοῦν- 9
ται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεόννατος, Νέαρ-
χος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ, Λεόννατος δὲ ἐπὶ
τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείτῃσι προσ-
οικέοντας βαρβάρους. οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρῳ 10
ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός.

τὰ δὲ ἐν δεξιῇ τῆς Ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν Βα- 43
βυλωνίην Ἀραβίη ἡ πολλή ἐστι, καὶ ταύτης τὰ μὲν κατ-
ήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε καὶ
τὴν Παλαιστίνην Συρίην, πρὸς δυομένου δὲ ἡλίου ὡς
ἐπὶ τὴν ἔσω θάλασσαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμουρέουσι.
κατὰ δὲ Αἴγυπτον ἐσέχων ἐκ τῆς μεγάλης θαλάσσης κόλ- 2
πος δῆλον ποιέει ὅτι εἵνεκά γε τοῦ σύρροον εἶναι τὴν

ἔξω θάλασσαν περίπλοος ἂν ἦν ἐκ Βαβυλῶνος ἐς τὸν
3 κόλπον τοῦτον ἐσέχοντα ὡς ἐπ' Αἴγυπτον. ἀλλὰ γὰρ οὔ
τις παρέπλωσε ταύτῃ οὐδαμῶν ἀνθρώπων ὑπὸ καύ-
ματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι κομιζόμενοι.
4 ἀλλὰ οἱ ἀπ' Αἰγύπτου γὰρ ἐς Σοῦσα ἀποσωθέντες τῆς
στρατιῆς τῆς Καμβύσεω καὶ οἱ παρὰ Πτολεμαίου τοῦ
Λάγου παρὰ Σέλευκον τὸν Νικάτορα σταλέντες ἐς Βα-
5 βυλῶνα διὰ τῆς Ἀραβίης χώρης ἰσθμόν τινα διαπο-
ρευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ τῇσι πάσῃσιν ἄνυδρον καὶ
ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνον-
τες, ὕδωρ τέ σφισιν ἐπὶ τῶν καμήλων φέροντες καὶ νυ-
κτοπορέοντες· τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ
6 καῦμα ἀδύνατοι ἦσαν. τοσούτου δέει τά γε ἐπέκεινα
ταύτης τῆς χώρης, ἥντινα ἰσθμὸν ἀπεφαίνομεν ἐκ τοῦ
κόλπου τοῦ Ἀραβίου κατήκοντα ἐς τὴν Ἐρυθρὴν θάλασ-
σαν, οἰκεόμενα εἶναι, ὁκότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐ-
7 τῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. ἀλλὰ γὰρ
ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ' Αἴγυπτον ὁρμηθέντες
ἄνθρωποι, ἐκπεριπλώσαντες τὴν πολλὴν Ἀραβίην τοῦ
ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας θάλασσαν, ἐς
τοσόνδε ἄρα παραπλώσαντες τῆς Ἀραβίης, ἐς ὅσον σφίσι
τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς νέας, ἔπειτα ὀπίσω
8 ἀπενόστησαν. ἐκ Βαβυλῶνος δὲ οὕστινας ἔστειλεν Ἀλέ-
ξανδρος, ὡς ἐπὶ μήκιστον πλώοντας ἐν δεξιῇ τῆς Ἐρυ-
θρῆς θαλάσσης τοῦ γνῶναι τοὺς ταύτῃ χώρους, οὗτοι νή-
σους μέν τινας κατεσκέψαντο ἐν τῷ παραπλόῳ κειμένας,
9 καί κου καὶ τῇ ἠπείρῳ τῆς Ἀραβίης προσέσχον, τὴν δὲ
ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν
λέγει φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβα-
10 λὼν ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. δο-
κέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ ταύτῃ, ὑπ'
Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο πλω-

τά τε καὶ βαδιστὰ ἐόντα. Ἄννων δὲ ὁ Λίβυς ἐκ Καρ- 11
χηδόνος ὁρμηθεὶς ὑπὲρ μὲν Ἡρακληίας στήλας ἐξέπλω-
σεν ἐς τὸν ἔξω πόντον, ἐν ἀριστερῇ τὴν Λιβύην ἔχων·
καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ ἐγέ-
νετο τὰς πάσας πέντε καὶ τριήκοντα ἡμέρας· ὡς δὲ 12
δὴ ἐς μεσαμβρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν
ἐνετύγχανεν ὕδατός τε ἀπορίῃ καὶ καύματι ἐπιφλέγοντι
καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. ἀλλὰ ἡ 13
Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖσι ἐρημοτέροισι πεπο-
λισμένη ποιώδης τέ ἐστι καὶ εὔυδρος καὶ καρπῶν παν-
τοίων καὶ κτηνέων πάμφορος ἔστε ἐπὶ τοῦ σιλφίου τὰς
ἐκφύσιας· ὑπὲρ δὲ τὸ σίλφιον τὰ ἄνω αὐτῆς ἔρημα καὶ
ψαμμώδεα.

οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς 14
ἐς Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.

ΑΡΡΙΑΝΟΥ ΚΥΝΗΓΕΤΙΚΟΣ

Τοῦ Ἀρριανοῦ Κυνηγετικοῦ κεφάλαια.

α *Προοίμιον, ἐν ᾧ καὶ τὰ Ξενοφῶντι παραλειφθέντα εἰπεῖν Ἀρριανὸς ἐπαγγέλλεται.*

β *Ὅτι Ξενοφῶν οὐκ ᾔδει τὰς Κελτικὰς κύνας οὐδὲ τὰς ταύταις ὁμοίας.*

γ *Περὶ Κελτικῶν κυνῶν, καὶ οἷαι τὴν ἰδέαν αὗται.*

δ *Περὶ σημείων, ἀφ' ὧν δεῖ τὰς ταχείας τεκμαίρεσθαι κύνας καὶ τὸ ἐναντίον.*

ε *Περὶ τῆς τοῦ συγγραφέως κυνός, ὁποία ποτ' ἦν.*

ς *Περὶ χρωμάτων, καὶ ὡς ἂν ἔχωσιν ταῦτα ὅτι ἀδιάφορον.*

ζ *Περὶ τῆς γνώμης τῶν κυνῶν, ὁποῖα ταύτης τὰ σημεῖα.*

η *Περὶ τοῦ πῶς διαγνωστέον ἀπὸ τοῦ ἐσθίειν τὴν ποιότητα τῶν κυνῶν.*

ϑ *Περὶ τοῦ μετὰ τίνων καὶ πῶς κοιταστέον τὰς κύνας.*

ι *Ὅτι ἡ τρῖψις ταῖς κυσὶν ὠφέλιμος, καὶ πῶς ταύτας δεῖ ἀποτρίβειν.*

ια *Ὅτι ἄμεινον δεδέσθαι τὰς κύνας ἢ λελυμένας εἶναι.*

ιβ *Περὶ τοῦ ἐπὶ πόσον τῆς ἡμέρας προακτέον τὰς κύνας, καὶ πόσας καὶ ποίας ἐν ταὐτῷ λυτέον.*

ιγ *Περὶ τοῦ ποσάκις δεῖ ἐν χειμῶνι ἢ θέρει σιτεῖσθαι τὰς κύνας.*

ιδ *Περὶ τοῦ ποίῳ καιρῷ ἐξακτέον τὰς κύνας ἐπὶ θήραν.*

ιε (19) *Πῶς Κελτοὶ θηρῶσιν καὶ πότε.*

ις (15) *Περὶ διαστήματος, ἀφ' ὅτου δεῖ τῷ λαγῷ ἐπιλύειν τὰς κύνας, καὶ πόσας ταύτας.*

ιζ (16) *Περὶ λαγωῶν, καὶ τίς ἡ τούτων ἀρετή.*

ιη (17) *Ὅτι τὸ ἀνακαλεῖν ἐν ταῖς θήραις τὰς κύνας ἀγαθὸν ταύταις.*

ιϑ (18) *Ὅτι δεῖ τὴν κύνα καλῶς ἠγωνισμένην καταψῶντα ἐπευφημεῖν.*

κ Ὅπως εἰς κυνηγέσιον ἐξιέναι χρὴ τοὺς μὴ τὸ θήραμα οὗ ἐστιν ἐγνωκότας.

κα Περὶ τοῦ πῶς θηρῶσιν Κελτοί.

κβ Ὅτι οὐ χρὴ ἐπιλύειν κύνας νεογνῷ θηράματι.

κγ Πῶς θηρατέον ἐλάφους ἢ ἄλλο τι μέγιστον.

κδ Ὅπως Λίβυες μεθ᾽ ἵππων αἱροῦσιν τὰ μεγάλα θηράματα.

κε Περὶ τοῦ ἀφ᾽ οἵας ἡλικίας δεῖ ἐξάγειν εἰς θήραν τὰς θηλείας κύνας.

κϛ Περὶ ἀρρένων κυνῶν, ἀφ᾽ οἵας ἡλικίας χρεὼν αὐτοὺς ἐπὶ θήραν ἐξάγειν.

κζ Πῶς ἐπὶ ὀχείαν ἀκτέον τὰς κύνας.

κη Ὅτι, εἴ τις δρῴη τὴν μῖξιν τῶν κυνῶν, οὐκ ἐπιτελεῖται γόνιμος.

κθ Περὶ καιροῦ πρὸς σκυλακείαν ἐπιτηδείου.

λ Πῶς μετὰ τὸ τεκεῖν ἐπαναληπτέον εἰς τὸ ἐξ ἀρχῆς τὸν δρόμον τῶν κυνῶν.

λα Περὶ ὧν Ξενοφῶν ὑπὲρ ἀνατροφῆς διατάττεται.

λβ Διαφοραὶ ἄρρενος καὶ θηλείας κυνός.

λγ Ὅτι δεῖ τοὺς κυνηγέτας θύειν τῇ Ἀρτέμιδι.

λδ Περὶ τοῦ Κελτῶν νόμου καὶ τοῦ ὑπ᾽ αὐτῶν γινομένου ἐράνου τῇ Ἀρτέμιδι.

λε Παραίνεσις πρὸς τὸ θύειν τοῖς ἐφόροις τῶν ἐν ἀνθρώποις ἐπιτηδευμάτων.

λϛ Ἐξ Ὁμήρου μαρτύρια, ὅτι χρὴ θύειν τοῖς τῶν πραγμάτων εὑρεταῖς ἐν τῇ τῶνδε μεταχειρίσει.

Ξενοφῶντι τῷ Γρύλλου λέλεκται μὲν ὅσα ἀγαθὰ ἀν- 1
θρώποις ἀπὸ κυνηγεσίων γίγνεται, καὶ οἱ παιδευθέντες ὑπὸ Χείρωνι τὴν παίδευσιν ταύτην ὅπως θεοφιλεῖς τε ἦσαν καὶ ἔντιμοι ἀνὰ τὴν Ἑλλάδα, λέλεκται δὲ καὶ καθ᾽ ὅ τι ἔοικεν τῇ πολεμικῇ ἐπιστήμῃ ἡ κυνηγετική, καὶ ἥντινα ἡλικίαν ἔχοντα χρὴ ἐλθεῖν ἐπὶ τὸ ἔργον, καὶ τὸ εἶδος καὶ τὴν γνώμην ὁποῖόν τινα· καὶ περὶ ἀρκύων δὲ καὶ δικτύων καὶ ἐνοδίων ὁποῖα χρὴ παρασκευάσασθαι, καὶ πάγας ὅπως ἱστάναι τοῖς θηρίοις, ὅσα πάγῃ ἁλωτά.
καὶ περὶ λαγῶν δὲ λέλεκται, ἥτις ἡ φύσις αὐτῶν, 2

καὶ ὅπως νέμονται καὶ ὅπου εὐνάζονται, καὶ ὅπως χρὴ
μαστεύειν αὐτούς· καὶ περὶ κυνῶν, ὅσαι ἰχνεύειν σοφαὶ
καὶ ὅσαι πονηραί, καὶ ὅπως ἀπό τε τοῦ εἴδους καὶ τῶν
3 ἔργων τεκμαίρεσθαι χρὴ ἑκατέρας. ἔστιν δὲ ἃ καὶ περὶ
συῶν θήρας λέλεκται καὶ ἐλάφων καὶ ἄρκτων καὶ λεόν-
4 των, ὅπως σοφίᾳ καὶ δόλῳ ἁλωτά. ὅσα δὲ ἐλλείπειν
μοι δοκεῖ ἐν τῷ λόγῳ, οὐχὶ ἀμελείᾳ ἀλλ' ἀγνοίᾳ τοῦ
γένους τῶν κυνῶν τοῦ Κελτικοῦ καὶ τοῦ γένους τῶν
ἵππων τοῦ Σκυθικοῦ τε καὶ τοῦ Λιβυκοῦ, ταῦτα λέξω,
ὁμώνυμός τε ὢν αὐτῷ καὶ πόλεως τῆς αὐτῆς καὶ ἀμφὶ
ταὐτὰ ἀπὸ νέου ἐσπουδακώς, κυνηγέσια καὶ στρατηγίαν
5 καὶ σοφίαν· ἐπεὶ καὶ αὐτὸς ἐκεῖνος, ἃ Σίμωνι περὶ ἱπ-
πικῆς ἐνδεῶς λελεγμένα ἦν, ᾠήθη δεῖν ἀναγράψαι, οὐχὶ
ἔριδι τῇ πρὸς Σίμωνα, ἀλλ' ὅτι ὠφέλιμα ἐς ἀνθρώπους
ἐγίγνωσκεν.

2 ὅτι μὲν δὴ οὐκ ἠπίστατο τὸ γένος τῶν κυνῶν τὸ
Κελτικόν, δοκῶ ἔγωγε ὡς οὐδὲ τεκμηρίων δεῖ πρὸς
αὐτό· ἄγνωστα γὰρ ἦν τὰ ἔθνη τῆς Εὐρώπης, ὅσα ταύτῃ
ᾤκισται, ὅτι μὴ τῆς Ἰταλίας ὅσα Ἕλληνες κατεῖχον, ἢ
2 ὅσοις κατ' ἐμπορίαν διὰ θαλάσσης ἐπεμίγνυον. ὡς δὲ
οὐδὲ ἄλλο γένος κυνῶν ἐγίγνωσκεν, ὃ κατὰ ὠκύτητα
ἔοικεν τῷ Κελτικῷ, τεκμαίρεσθαι ὑπάρχει ἀπὸ τῶνδε.
λέγει γὰρ ὡς ὅσοι ἁλίσκονται λαγῷ ὑπὸ κυνῶν, παρὰ
3 φύσιν σώματος ἁλίσκονται ἢ τύχῃ χρησάμενοι. εἰ δέ
γε ἠπίστατο τὰς κύνας τὰς Κελτικάς, ταὐτὸν τοῦτο δο-
κεῖ ἄν μοι ἀποφήνασθαι περὶ τῶν κυνῶν, ὡς ὁπόσους
λαγὼς οὐχ αἱροῦσιν κύνες κατὰ πόδας, παρὰ φύσιν
σώματος οὐχ αἱροῦσιν ἢ τύχῃ χρησάμεναι. ὡς ὅσαι γε
ἀγαθαὶ τὸ σῶμα καὶ τὸν θυμόν γενναῖαι, ταύτας δὲ οὐκ
ἄν ποτε διαφύγοι λαγώς, εἰ μή τις δυσχωρία ἐμποδὼν
γένοιτο, ἢ ὕλη ἀποκρύψασα, ἢ κατάδυσις κοίλη καὶ
βαθεῖα ἀφελομένη, ἢ τάφρος διαδραμεῖν ἐν τῷ ἀφα-

νεῖ παρασχοῦσα. ἐνθένδε, οἶμαι, ὅπως μὲν ἐπὶ τὰς ἄρ- 4
κυς χρὴ ἐπελαύνειν τὸν λαγῶ ἐπεξέρχεται τῷ λόγῳ,
καὶ εἰ παραδράμοι τὰς ἄρκυς, ὅπως χρὴ μεταθεῖν αὐ-
τὸν καὶ ἀνευρίσκειν κατὰ τὸ ἴχνος, ἔστε ἁλῶναι ἀπα-
γορεύσαντα ὑπὸ καμάτου. ὅτι δὲ οὐδὲν οὔτε ἀρκύων 5
δεῖ τῷ κύνας ἀγαθὰς κεκτημένῳ οὔτε τοῦ μαστεύειν
διαφυγόντα, οὐδαμοῦ τοῦτο ἐδήλωσεν, ἀλλὰ τὴν θή-
ραν ταύτην μόνην ἐξηγεῖται, ἣν Κᾶρες τε καὶ Κρῆτες
θηρῶσιν.

θηρῶσιν δὲ καὶ Κελτοὶ ἀφαιροῦντες τὰς ἄρκυς, ὅσοι 3
γε οὐκ ἀπὸ κυνηγεσίων βιοτεύουσιν, αὐτοῦ τοῦ ἐν θήρᾳ
καλοῦ ἕνεκα· ἔστιν γὰρ καὶ ταύτῃ κυνῶν γένος ἰχνεῦσαι
μὲν οὐ μεῖον σοφὸν ἢ τὸ Καρικὸν καὶ Κρητικόν, τὴν δὲ
ἰδέαν ἀνιαρὸν καὶ θηριῶδες. καὶ αὗται ἰχνεύουσιν 2
σὺν κλαγγῇ καὶ ὑλαγμῷ, ὁπόσα αἱ Καρικαὶ ἐπικλάζουσαι.
ἀλλ' αὗταί γε ἔτι μᾶλλον ἔκφρονες γίγνονται, ἐπειδὰν
αἴσθωνται ἴχνους· καὶ ἔστιν ὅτε καὶ ἐπὶ ἑώλοις ὑπερ- 3
λαμπρύνονται. ὥστε ἐμεμψάμην ἔγωγε αὐτῶν τὸ πολὺ
τῆς κλαγγῆς καὶ τὸ ὅμοιον ἐπὶ παντὶ ἴχνει, τῷ δρο-
μαίῳ οὐ μεῖον ἢ τῷ εὐναίῳ. μεταθεῖν δὲ καὶ ἀνευρί- 4
σκειν τὸν ὑποκινήσαντα οὔτε τῶν Καρικῶν φαυλότεραί
εἰσιν οὔτε τῶν Κρητικῶν, ὅτι μὴ κατὰ τὴν ὠκύτητα.
ἀγαπητὸν γοῦν εἰ καὶ ἕνα λαγῶ χειμῶνος ὥρᾳ κατα-
κάνοιεν· τοσαύτην διατριβὴν ἐς τὸ ἀναπαύεσθαι αὐτῷ
παρέχουσιν, εἰ μή πη ἄρα ὑπὸ θορυβούντων κυνῶν
ἁλοίη ἔκφρων γενόμενος. καλοῦνται δὲ Ἐγούσιαι αἵδε
αἱ κύνες, ἀπὸ ἔθνους Κελτικοῦ τὴν ἐπωνυμίαν ἔχου-
σαι, οὐ πρῶτον, ὥς γέ μοι δοκεῖ, ἔφυσάν τε καὶ ηὐδο-
κίμησαν.

ἀλλ' ὑπὲρ μὲν τούτων, ὅσα ἄν τις τῷ λόγῳ ἐπεξ- 5
έλθῃ, λελεγμένα ἐρεῖ πρὸς Ξενοφῶντος τοῦ πάλαι·
οὐδὲν γὰρ ἴδιον οὐδὲ διάφορον ἐν τῷ μαστεύειν ἢ μετα-

θεῖν ἐπιδεικνύουσιν, πλήν γε δὴ εἴ τις ἐθέλοι περὶ τῆς
ἰδέας αὐτῶν λέγειν, ἧς ἔμοιγε οὐ δοκεῖ ἄξιον ὅτι μὴ
τοῦτο εἰπεῖν μόνον, ὡς δασεῖαι καὶ πονηραὶ ἰδεῖν,
καὶ ὅσαι γενναιόταται αὐτῶν, αὗται αἱ πονηρόταται.
ὥστε εὐδοκιμεῖ ἐν Κελτοῖς ὁ ἀπεικάσας αὐτὰς τοῖς ἀνὰ
τὰς ὁδοὺς πτωχεύουσιν. καὶ γὰρ φωνὴ αὐταῖς γοερά τε
καὶ ἐλεεινή ἐστιν, καὶ οὐχ ὡς θυμούμεναι ἄρα πρὸς τὸ
θηρίον ἐπικλάζουσιν ἐν τῇ ἰχνείᾳ, ἀλλ' ὡς οἰκτιζόμεναι
6 καὶ λιπαροῦσαι. περὶ μὲν δὴ τούτων οὐκ ἄν τις ἀνα-
γράψαι μοι δοκεῖ ὅ τι καὶ λόγου ἄξιον.

αἱ δὲ ποδώκεις κύνες αἱ Κελτικαὶ καλοῦνται μὲν
οὐέρτραγοι φωνῇ τῇ Κελτῶν, οὐκ ἀπὸ ἔθνους οὐδενός,
καθάπερ αἱ Κρητικαὶ ἢ Καρικαὶ ἢ Λάκαιναι, ἀλλ' ὡς
τῶν Κρητικῶν αἱ διάπονοι ἀπὸ τοῦ φιλοπονεῖν καὶ αἱ
ἴταμαὶ ἀπὸ τοῦ ὀξέος καὶ αἱ μικταὶ ἀπ' ἀμφοῖν, οὕτω δὲ
7 καὶ αὗται ἀπὸ τῆς ὠκύτητος. τὴν δὲ ἰδέαν καλόν τι
χρῆμά εἰσιν κατά τε τοὺς ὀφθαλμοὺς αἱ γενναιόταται
αὐτῶν καὶ κατὰ τὸ σῶμα ἅπαν καὶ τὴν τρίχα καὶ τὴν
χρόαν· οὕτω ταῖς τε ποικίλαις ἐπανθεῖ τὸ ποικίλον, καὶ
ὅσαις ἁπλῆ ἡ χρόα ἐστίν, ἀποστίλβει καὶ αὕτη, καὶ ἔστιν
ἥδιστον θέαμα ἀνδρὶ θηρευτικῷ.

4 λέξω δὲ καὶ αὐτός, ἀφ' οἵων τινῶν χρὴ τεκμαίρε-
σθαι τὰς ὠκείας τε καὶ γενναίας, καὶ τίσιν ἂν προσέχων
τις τὸν νοῦν τὰς ἀγεννεῖς τε καὶ βραδείας ἀποκρίνειεν
αὐτῶν.

2 πρῶτα μὲν δὴ μακραὶ ἔστων ἀπὸ κεφαλῆς ἐπ' οὐ-
ράν· ἓν γὰρ οὐδὲν οὕτω τεκμήριον ἐς ὠκύτητά τε καὶ
γενναιότητα εὕροις ἂν ἐπιλεγόμενος ταὐτὸν ἐπὶ πάσῃ
ἰδέᾳ κυνός, ὡς τὸ μῆκος, καὶ τοὐναντίον τὴν βραχύ-
τητα ἐς τὸ βραδὺ καὶ ἀγεννές. ὥστε ἤδη ἔγωγε εἶδον
πολλὰ ἄλλα κακὰ ἐχούσας κύνας, ὅτι δὲ μακραὶ ἐτύγχα-
3 νον, ὠκεῖαι ἦσαν καὶ [illegible] καὶ αἱ μεί-

ζους εἰ τὰ ἄλλα φαῦλαι τύχοιεν, κατ' αὐτὸ τὸ μέγεθος
εὐφυέστεραι τῶν σμικρῶν. φαῦλαι δὲ τῶν μεγάλων,
ὅσαι τὰ μέλη ἀπαγεῖς καὶ ἀσύμμετροι· ὥστε φαυλότε-
ραι ἂν εἶεν οὕτω γε ἔχουσαι τῶν σμικρῶν, εἰ τὰ ἄλλα
κακὰ ἴσα προσείη αὐταῖς. ἐχόντων δὲ τὰς κεφαλὰς 4
ἐλαφρὰς καὶ ἀρθρώδεις· εἰ δὲ γρυπαὶ ἢ σιμαὶ εἶεν, οὐ
παρὰ μέγα διοίσει τοῦτο· οὐδ' εἰ τὰ ὑπὸ τοῖς μετώποις
ἰνώδη ἔχοιεν, οὐδὲ τοῦτο ἐν μεγάλῳ ποιητέον. ἀλλ' αἱ
βαρυκέφαλοι μόναι πονηραί, καὶ ὅσαις παχέα τὰ ῥύγχη
καὶ μὴ ἐς ὀξὺ ἀλλ' ἀθρόως ἀπολήγοντα. τὰ δὲ ὄμ- 5
ματα ἔστω μεγάλα μετέωρα καθαρὰ λαμπρά, ἐκπλήτ-
τοντα τὸν θεώμενον. καὶ κράτιστα μὲν τὰ πυρωπὰ
καὶ ὑπεραστράπτοντα, οἷα πορδάλεων ἢ λεόντων ἢ
λυγκῶν· δεύτερα δὲ ἐπὶ τούτοις τὰ μέλανα, εἰ τύ-
χοι ἀναπεπταμένα τε καὶ γοργὰ ἰδεῖν· τρίτα δὲ τὰ
χαροπά· οὐδὲ γὰρ οὐδὲ τὰ χαροπὰ φαῦλά ἐστιν, οὐδὲ
φαύλων κυνῶν σύμβολα, εἰ τύχοι καθαρὰ καὶ γοργὰ
ἰδεῖν. ἐπεί τοι ἀνέθρεψα ἐγὼ κύνα χαροπὴν οἵαν 5
χαροπωτάτην, καὶ αὕτη ὠκεῖά τε ἦν καὶ φιλόπονος
καὶ εὔψυχος καὶ εὔπους, ὥστε καὶ τέσσαρσιν ἤδη
ποτὲ λαγῷς ἐφ' ἡλικίας ἀντήρκεσεν. καὶ τὰ ἄλλα δὲ 2
πραοτάτη τέ ἐστιν (ἔτι γάρ μοι ἦν, ὁπότε ταῦτα ἔγρα-
φον) καὶ φιλανθρωποτάτη, καὶ οὔπω πρόσθεν ἄλλη
κύων ὡς αὐτὴ οὔτε ἐμὲ ἐπόθησεν οὔτε τὸν ἑταῖρον
τὸν ἐμὸν καὶ σύνθηρον τὸν Μέγιλλον. ἐπειδὴ γὰρ τοῦ
δρόμου ἀπεπαύσατο, οὐκέτι ἡμῶν ἢ θατέρου γε ἀπαλ-
λάσσεται. ἀλλ' εἰ μὲν ἐγὼ ἔνδον εἴην, ἅμα ἐμοὶ δια- 3
τρίβει, καὶ προϊόντα ποι παραπέμπει, καὶ ἐπὶ γυμνάσιον
ἰόντι ἐφομαρτεῖ, καὶ γυμναζομένῳ παρακάθηται, καὶ
ἐπανιόντος πρόεισιν, θαμινὰ ἐπιστρεφομένη, ὡς κατα-
μανθάνειν μή πη ἄρα ἐξετράπην τῆς ὁδοῦ· ἰδοῦσα δὲ
καὶ ἐπιμειδιάσασα αὖθις αὖ πρόεισιν. εἰ δὲ ἐπί τι

ἔργον πολιτικὸν ἴοιμι, ἣ δὲ τῷ ἑταίρῳ τῷ ἐμῷ σύνεστιν,
καὶ πρὸς ἐκεῖνον τὰ αὐτὰ ταῦτα δρᾷ. ὁπότερος δὲ ἡμῶν
κάμνοι τὸ σῶμα, ἐκείνου αὖ οὐκ ἀπαλλάσσεται. εἰ δὲ
καὶ δι' ὀλίγου χρόνου ἴδοι, ἐπιπηδᾷ ἀτρέμα, ὥσπερ
ἀσπαζομένη, καὶ τῷ ἀσπασμῷ ἐπιφθέγγεται, οἷα φιλο-
φρονουμένη. καὶ δειπνοῦντι συνοῦσα ἅπτεται ἄλλοτε
ἄλλῳ τοῖν ποδοῖν, ὑπομιμνήσκουσα ὅτι κἂν αὐτῇ ἄρα
μεταδοτέον εἴη τῶν σιτίων. καὶ μὴν καὶ πολύφθογγός
ἐστιν, ὡς οὔπω ἐγὼ ἰδεῖν μοι δοκῶ ἄλλην κύνα· καὶ
5 ὅσων δεῖται τῇ φωνῇ σημαίνει. καὶ ὅτι σκυλακευο-
μένη μάστιγι ἐκολάζετο, εἴ τις ἐς τοῦτο ἔτι μάστιγα ὀνο-
μάσειεν, πρόσεισιν τῷ ὀνομάσαντι, καὶ ὑποπτήξασα λι-
παρεῖ, καὶ τὸ στόμα ἐφαρμόζει τῷ στόματι ὡς φιλοῦσα,
καὶ ἐπιπηδήσασα ἐκκρέμαται τοῦ αὐχένος, καὶ οὐ πρό-
σθεν ἀνίησιν, πρὶν τῆς ἀπειλῆς ἀποπαῦσαι τὸν θυμού-
6 μενον. ὥστε οὐκ ἂν ὀκνῆσαί μοι δοκῶ καὶ τὸ ὄνομα
ἀναγράψαι τῆς κυνός, ὡς καὶ ἐς ὕστερον ἀπολελεῖφθαι
αὐτῆς, ὅτι ἦν ἄρα Ξενοφῶντι τῷ Ἀθηναίῳ κύων, Ὁρμὴ
ὄνομα, ὠκυτάτη τε καὶ σοφωτάτη καὶ πραοτάτη.

7 ὦτα δὲ μεγάλα ἔστω ταῖς κυσὶν καὶ μαλθακά, ὥστε
ὑπὸ μεγέθους καὶ μαλθακότητος ἐπικεκλασμένα φαίνε-
σθαι· οὕτως ἂν εἴη κράτιστα. οὐ μέντοι ἀλλὰ καὶ εἰ ὀρθὰ
εἴη, οὐ πονηρόν, εἰ μὴ σμικρά τε εἴη καὶ σκληρά.
8 τράχηλος δὲ μακρός τε ἔστω καὶ περιφερὴς καὶ ὑγρός·
ὥστε εἰ ἀντιτείνοις ἀπὸ τῶν δεραίων τὰς κύνας ἐς τοὐ-
πίσω, ἐπικεκλάσθαι δοκεῖν τὸν τράχηλον δι' ὑγρότητα
9 καὶ μαλθακότητα. στήθη δὲ πλατέα ἀμείνω τῶν στενῶν,
καὶ τὰς ὠμοπλάτας διεστώσας ἐχόντων καὶ μὴ συμπεπη-
γυίας ἀλλ' ὡς οἷόν τε λελυμένας ἀπ' ἀλλήλων. σκέλη
στρογγύλα ὀρθὰ εὐπαγῆ, πλε[illegible]ς γενναίας· ὀσφὺν
πλατεῖαν ἰσχυράν, μὴ σαρκώδ[illegible]λὰ νεύροις πεπη-
γυῖαν. λαγόνας ἀν[illegible]μένας, ἰσχ[illegible]μένα. κε-

νεῶνας λαγαρούς. οὐρὰς λεπτὰς μακράς, δασείας τὴν
τρίχα, ὑγρὰς εὐκαμπεῖς, τὸ ἄκρον τῆς οὐρᾶς δασύτε-
ρον. ὑποκώλια μακρὰ εὐπαγῆ. σκέλη δὲ εἰ μὲν τὰ 10
ὀπίσθια ἔχοιεν μείζω τῶν ἔμπροσθεν, τὰ ὄρθια ἂν μετα-
θέοιεν ἄμεινον· εἰ δὲ τὰ ἔμπροσθεν τῶν ὀπισθίων, τὰ
κατάντη· εἰ δ' ἴσα εἴη ἄμφω, τὰ πεδινά. ἐπεὶ δὲ χαλε- 11
πώτερον ἐν ὀρθίῳ μὴ ἡττηθῆναι λαγῶ, ὅτι καὶ ὁ λαγὼς
τὰ ὄρθια θεῖ ἄμεινον, ἐκεῖναι δοκοῦσιν γενναιότεραι
αἱ κύνες, ὅσαι τὰ ὄπισθεν μείζω ἔχουσιν τῶν ἔμπρο-
σθεν· πόδες δὲ οἱ περιφερεῖς καὶ στερροὶ κράτιστοι.
τὰ δὲ χρώματα οὐδὲν διοίσει ὁποῖα ἂν ἔχωσιν, οὐδ' εἰ 6
παντελῶς εἶεν μέλαιναι ἢ πυρραὶ ἢ λευκαί· οὐδὲ
τὸ ἁπλοῦν χρὴ ὑποπτεύειν τῆς χρόας ὡς θηριῶδες. ἀλλὰ
τὰ ὄντα ἔστω στιλπνὰ καὶ καθαρά, καὶ ἡ θρίξ, εἴτε οὖν
τοῦ δασέος γένους εἴτε τοῦ ψιλοῦ τύχοιεν αἱ κύνες,
λεπτὴ ἔστω καὶ πυκνὴ καὶ μαλθακή. κράτιστοι δὲ ἄρ- 2
ρενες μέν, ὅσοι μεγάλοι τε καὶ εὐπαγεῖς ὄντες ὑπὸ ὑγρό-
τητος θηλείαις ἐοίκασιν· θήλειαι δέ, ὅσαι διὰ τὸ γεν-
ναῖον καὶ μυῶδες τοῦ σώματος ἄρρεσιν. τοῦ μὲν δὴ 3
σώματος ταῦτά τις ἂν δοκεῖ μοι ἐπισκοπῶν ἀποχρῶντα
τεκμήρια ποιεῖσθαι ἐς γενναιότητα, καὶ τὰ ἐναντία τοῦ
ἐναντίου.

οὐ μείω δὲ καὶ ἡ γνώμη τῶν κυνῶν ἐς ἑκάτερα 7
τεκμηριοῦσθαι παρέξει τῷ ὡς χρὴ ὁρῶντι. αὐτίκα ὅσαι
σκυθρωπαὶ κύνες πρὸς ἅπαντας, οὐ γενναῖαι· εἰ δὲ
ἔστιν ἃς εὕροις πρὸς μὲν τοὺς ἀγνῶτας χαλεπάς, τῷ δὲ
ἀνατρέφοντι προσφιλεῖς, τοῦτο ἀγαθὸν μᾶλλον ἢ κακόν.
ἤδη δὲ ἔγνων κύνα, ἥτις οἴκοι μὲν κατηφὴς ἦν καὶ 2
οὐδενὶ τῶν πλησιαζόντων ἔχαιρεν· ἐπὶ θήραν δὲ ἐξαγο-
μένη ὑπερηυφραίνετο καὶ παντὶ τῷ προσελθόντι προσ-
μειδιῶσα καὶ προσσαίνουσα διεδήλου ὅτι ἀνιᾶται οἴκοι
μένουσα. καὶ τοῦτο ἀγαθόν. κράτισται δὲ αἱ φιλαν- 3

*θρωπόταται καὶ ὅσαις οὐκ ἔστιν ξένον ὄψις ἀνθρώπου
οὐδενός. ὅσαι δὲ ἀνθρώπους δεδίασιν καὶ ὑπὸ ψόφου
ἐκπλήσσονται καὶ θορυβώδεις εἰσὶν καὶ ἐπὶ πολλὰ καὶ
εἰκῇ κινοῦνται [— καὶ ταῦτα ἀλογίστων ἐστὶν καὶ οὐκ
ἐμφρόνων —], καθάπερ ἄνθρωποι οἱ δειλοὶ καὶ ἔκφρο-
νες, οὕτω δὲ καὶ αἱ κύνες αἱ τοιαῦται οὔποτε ἂν εἶεν
4 γενναῖαι. κακαὶ δὲ καὶ ὅσαι λυθεῖσαι τοῦ δεσμοῦ ἐν χω-
ρίῳ οὐκ ἐπανίασιν ἐπὶ τὸν ἄγοντα ἀνακαλούμεναι, ἀλλ'
ἀποσκιρτῶσιν, καὶ ἢν μὲν πράως μετακαλῇς, καταφρο-
νοῦσιν, ἢν δὲ σὺν ἀπειλῇ, δειμαίνουσαι οὐ προσίασιν.
5 ἀλλὰ χρὴ ἀποσκιρτήσασαν τὴν κύνα καὶ περιδραμοῦ-
σαν ἐπανιέναι ἐπὶ τὸν κυναγωγόν, εἰ καὶ μὴ καλοίη αὐ-
τήν, σημαίνουσαν ὅτι οἵα τε ὑπακούειν, εἰ δὴ ἐθέλει·
ἔτι δὲ εἰ μὴ λαμβάνοιτο, πάλιν αὖ ἀποσκιρτάτω, καὶ
6 πάλιν ἐπανίτω. πεπαιδευμέναι δέ, ὅσαι φθεγξαμένου
τοῦ κυναγωγοῦ ὑποκατακλίνονται, μὴ ὑπὸ δέους, ἀλλὰ
φιλοφρονούμεναι τὸν τροφέα καὶ τιμῶσαι, καθάπερ οἱ
προσκυνοῦντες μέγαν βασιλέα. οὐδὲ τὸ ἵστασθαι δὲ ἐν
πεδίῳ λυθεῖσαν κύνα ἀγαθόν, εἰ μὴ πρεσβυτέρα τύχοι·
7 ὄκνον γὰρ σημαίνει. ταῖς δὲ γενναιοτάταις καὶ ἐπι-
σκύνιον πρόσεστιν, καὶ σοβαραὶ φαίνονται, καὶ τὸ βά-
δισμα κοῦφον καὶ πυκνὸν καὶ ἁβρόν· καὶ μεταβάλλου-
σιν τὰς πλευράς, καὶ τὸν τράχηλον ἀνατείνουσιν, καθά-
περ οἱ ἵπποι, ἐπειδὰν λαμπρύνωσιν.*

8 *ἐσθίουσιν δὲ αἳ μὲν λάβρως αἳ δὲ κοσμίως, καὶ τὸ
2 κόσμιον γενναιότερον τοῦ ἀκόσμου. ἀγαθαὶ δέ, ὅσαι
μὴ κακόσιτοι, ἀλλ' ἄρτῳ ἢ μάζῃ χαίρουσιν· κράτιστον
γὰρ κυνὶ τοῦτο σιτίον, καὶ οὐ δέος μὴ ὑπερεμπλησθῇ
ἀπ' αὐτοῦ. ἄμεινον δὲ εἰ ξηρᾷ τῇ τροφῇ χαίροιεν· εἰ
δὲ καὶ ὕδατι καταβρέχοις καὶ τούτῳ χαίροιεν, οὐ κακόν.*

3 *καμνούσῃ δὲ ἐμβάλλειν ἢ ὕδωρ ἀπὸ κρέως λιπα-
ροῦ, ἢ βοὸς ἧπαρ ἐν σποδιᾷ θερμῇ ποιήσαντα, ἔπειτα*

τρίψαντα καθάπερ ἄλφιτα ἐπιπάττειν. καὶ ταῖς γε σκυ- 4
λακευομέναις ἀγαθὸν τοῦτο ἐς τὸ πῆξαι τὰ μέλη, ἐπει-
δὰν ἀποπαύσωνται τοῦ γάλακτος. τὸ γάλα δὲ σκυλα-
κεῦσαι κράτιστον ἐς ἔνατον μῆνα καὶ πορρωτέρω· καὶ
καμνούσῃ δὲ καὶ μαλθακιζομένῃ ἀγαθὸν καὶ πῶμα καὶ
σιτίον. ἀγαθὴ δὲ καὶ ἀσιτία καμνούσῃ.

οὐδὲν δὲ οἷον εὐνὴ μαλθακὴ καὶ ἀλεεινή. κρατίστη 9
δὲ ἡ μετ' ἀνθρώπου, ὅτι καὶ φιλάνθρωποι ἀποτελοῦν-
ται, καὶ τῷ χρωτὶ τῷ ἀνθρωπείῳ χαίρουσιν, καὶ φιλοῦ-
σιν οὐ μεῖον τὸν συγκαθεύδοντα ἢ τὸν τρέφοντα. κἂν
τῶν λυπούντων τὴν κύνα τις αἰσθάνοιτο, ὡς διψώσῃ τε
ἐν νυκτὶ ἐπικουρῆσαι καὶ ἐπειγομένῃ ὑπό του τῶν ἀναγ-
καίων· γνοίη δ' ἂν καὶ ὅπως ἀνεπαύσατο. εἰ γὰρ ἀγρυ-
πνήσειεν, ἐξάγειν ἐπὶ θήραν οὐκ ἀσφαλές, οὐδ' εἰ ἐπι-
στάξειεν θαμινὰ ἐν τῷ ὕπνῳ, οὐδ' εἴ τι ἀπεμέσειεν τῶν
σιτίων· ταῦτα δὲ γνοίη ἂν ὁ συναναπαυόμενος. κακίστη 2
δὲ κοίτη κυνῶν μετὰ κυνῶν, πολὺ δὲ πλέον, εἰ καὶ
ἐπιψαύουσαι ἀλλήλων ἀναπαύοιντο· ὡς ἄνθρωπος μὲν
συγκαθεύδων κυνὶ ἀφαιρεῖ τοῦ χρωτὸς τὸ ἀνιαρόν·
κύνες δὲ ἐν ταὐτῷ ἀναπαυόμεναι ὅ τι περ πονηρὸν
τοῦ χρωτὸς τῷ πλησιάζειν τε καὶ ἐκθερμαίνειν ἐπάξου-
σιν· ὥστε ψώρας ἐμπίμπλασθαι τὸ πολύ, ὁπότε ἐν
ταὐτῷ ἀναπαύοιντο. δηλοῖ δὲ καὶ ἡ ὀδμή, ἐπειδὰν ἐσέλ- 3
θῃς οὗ κύνες πολλαὶ ἀναπαύονται· οὕτω χαλεπή τέ
ἐστιν καὶ δριμεῖα.

μέγα δὲ ὄφελος κυνὶ καὶ τρῖψις τοῦ σώματος παν- 10
τός, οὐ μεῖον ἢ ἵππῳ· τά τε γὰρ μέλη πῆξαι καὶ ῥῶσαι
ἀγαθή, καὶ τὴν τρίχα μαλθακὴν ἐργάζεται καὶ τὴν χρόαν
στιλπνήν, καὶ τοῦ χρωτὸς ἀποκαθαίρει ὅ τι περ πονη-
ρόν. τρίβειν δὲ τὰ μὲν νῶτα καὶ τὴν ὀσφὺν τῇ δεξιᾷ, 2
ὑποθέντα τὴν ἀριστερὰν τῇ λαγόνι, ὡς μὴ ἐπιθλιβομέ-
νην ἄνωθεν τὴν κύνα ὀκλάζουσαν κακοπαθεῖν· τὰς δὲ 3

πλευρὰς ἑκατέρᾳ τῇ χειρί, καὶ τοὺς γλουτοὺς μέχρι
4 ἄκρων τῶν ποδῶν, καὶ τὰς ὠμοπλάτας ὡσαύτως. ἐπειδὰν
δ' ἱκανῶς φαίνωνται ἔχειν, ἐπαίρειν τῆς οὐρᾶς λαβόμε-
νον καὶ ἀνατείναντα ἀφιέναι· ἣ δὲ διασείσεταί τε ἀφε-
θεῖσα καὶ δήλη ἔσται ὅτι ἠγάπησεν τὸ πραχθέν.

11 δεδέσθαι δὲ κύνα γενναίαν δι' ἡμέρας, ὥσπερ τι
ἄλλο, ἀγαθόν· εἰ δὲ μή, ἀναγώγους ἀποτελεῖσθαι ἀνάγ-
κη. καὶ εἴ ποτε ἄρα δεσμοῦ δεηθεῖεν, ἀσχάλλουσιν καὶ
κλαυθμυρίζονται καὶ ἀπεσθίουσιν τοὺς ἱμάντας· ὥστε
σιδήρου δεῖν ἐπ' αὐταῖς, καθάπερ ἐπὶ ἀνθρώποις τοῖς
2 κακούργοις. καὶ ἐσθίειν δὲ ἀνάγκη λελυμένην κύνα
πᾶν τὸ ἐμπεσόν, καὶ τὸ ἀκμαῖον τοῦ δρόμου ἀφαιρεῖται
αὐτῶν ὁ δι' ἡμέρας περίπατος. ἀλλὰ χρὴ τεταγμένα μὲν
περιπατεῖν, τὸ πολὺ δὲ ἀμπαύεσθαι.

12 προάγειν δὲ τὰς κύνας τοὐλάχιστον τετράκις ἐπὶ τῇ
ἡμέρᾳ ἐς ὁμαλὸν χωρίον καὶ καθαρόν. ἐνταῦθα ἀφιέναι
τοῦ δεσμοῦ, τῶν τε ἀναγκαίων ἕνεκα καὶ ἐς τὸ ἀποσκιρ-
2 τᾶν καὶ διαθεῖν· εἰ δὲ ἀργοῦσαι ἀπὸ θήρας τύχοιεν,
καὶ πλεονάκις τοῦτο δρᾶν. καὶ δύο ἐπιλύειν ἐν ταὐ-
τῷ, ὥστε ἁμιλλωμένας καὶ παιζούσας ὁμοῦ μὲν εὐ-
3 φραίνεσθαι ὁμοῦ δὲ γυμνάζεσθαι. πολλὰς δὲ μὴ
λύειν ἐν ταὐτῷ· ἐμπίπτουσαι γὰρ ἀλλήλαις ἔστιν ὅτε
4 μεγάλα κακὰ ἐργάζονται. ἀλλὰ μηδὲ σκληρὰν κύνα
καὶ πεπηγυῖαν ἅμα τῇ σκυλακευομένῃ λυέτω· βαρεῖα
γὰρ αὕτη καὶ ἀνιαρὰ συμφέρεσθαι, καὶ διώκουσά τε αἱ-
ρεῖ καὶ ἀποφεύγουσα ἀπολείπει εὐμαρῶς, ὥστε ἀθυ-
μεῖν ἀνάγκη τὸ σκυλάκιον ἐν ἑκατέρῳ μεῖον φερόμενον.
5 ἀλλὰ μηδὲ ὅσαι διεχθρεύουσιν ἀλλήλαις, μηδὲ ταύτας
λύειν ὁμοῦ, ὡς μὴ λυμαίνωνται ἀλλήλας· εἰσὶν γάρ τοι
κύνες ἐχθραὶ ἀλλήλαις καὶ ἄφιλοι, καθάπερ ἄνθρωποι,
καὶ μάλιστα δὴ οἵ τε ἄρρενες τοῖς ἄρρεσιν καὶ αἱ θήλειαι

ταῖς θηλείαις, τὸ πολὺ ὑπὸ φθόνου. καὶ οὐδὲ τούτων
ἀμελῶς χρὴ ἔχειν.

καὶ δὴ χειμῶνος μὲν ὥρᾳ ἅπαξ σιτεῖσθαι τὰς κύνας 13
ὀλίγον πρὸ τῆς ἑσπέρας· ἥ τε γὰρ ἡμέρα βραχεῖα, καὶ
χρὴ γεγυμνάσθαι αὐτάς, ὥστε, εἰ δέοι πόρρω τῆς ἡμέ-
ρας διαπονεῖσθαι ἐν θήρᾳ, τοῦ λιμοῦ ἀνέχεσθαι. θέ- 2
ρους δὲ ἀγαθὸν καὶ ὄρθρου ὀλίγον δοῦναι ἐμφαγεῖν,
ὡς μὴ ἀποκναίεσθαι ὑπὸ μήκους· καὶ γὰρ εἰ διψήσειαν,
ἀλυπότερον ἂν πίνοιεν ἐμφαγοῦσαι. εἰ δὲ καὶ στέαρ
ταριχευόμενον καθείης τῆς κυνός, ἀγαθὸν καὶ τοῦτο.
εἰ δὲ μέγα τὸ καῦμα ἐπιφλέγοι, ᾠὸν ἐμβαλόντα ἐς τὴν 3
χεῖρα καὶ ἀνατείναντα τῆς κυνὸς τὸ στόμα καθεῖναι, ὡς
ἀθρόον καταπιεῖν. καὶ τοῦτο σιτίον τε ἱκανὸν ἔσται αὐ-
τῇ, καὶ ἀναψύξει τὸ ἆσθμα, καὶ ἀναπαύσει τὸ δῖψος.

ἐξάγειν δὲ ἐπὶ θήραν ἦρος μὲν καὶ φθινοπώρου 14
θαμινά· ἀσφαλέσταται γὰρ αἱ ὧραι αὗται ταῖς κυσίν.
θέρους δὲ ὀλιγάκις καὶ τὸ πολὺ διαλείποντα, εἰ πνῖγος 2
εἴη· οὐ γὰρ ἀνέχονται καύματος αἱ κύνες, ἀλλὰ πολλαὶ
ἤδη διώξασαι ἀνὰ κράτος ἀπεπνίγησαν ὑπὸ τοῦ ἄσθμα-
τος. τούτου δὴ ἕνεκα φέρειν χρὴ ᾠὰ τὸν κυνηγέτην, 3
ὥστε, εἰ ὑπερασθμαίνοι ἡ κύων, καθιέναι ἀθρόα· οὐ
γάρ ἐστιν ὅ τι μᾶλλον ἀναψύχει τε αὐταῖς τὸ καῦμα καὶ
τὸ ἆσθμα ἀμπαύει. εἰ δὲ πίοι ἀθρόον ὑπερασθμαί- 4
νουσα, καὶ τοῦτο οὐκ ἀσφαλές. τούτων δὴ ἕνεκα χρὴ
φυλάσσεσθαι ἐν καύματι ἐξάγειν. καὶ χειμῶνος δὲ μὴ 5
ἐξάγειν, εἰ τὸ κρύος τύχοι χαλεπόν, καὶ πολὺ δὴ μάλι-
στα, εἰ πεπηγυῖα ἡ γῆ τύχοι· ἀποκαίονται γὰρ ἐν τῷ
κρυστάλλῳ αἱ κύνες, καὶ τοὺς ὄνυχας ἔστιν αἳ ἀπολ-
λύουσιν, καὶ τὰ νέρθεν τῶν ποδῶν αὐταῖς ῥήγνυται.
εἰ δὲ εὐψυχότεραι εἶεν, θραύοιεν ἂν περὶ τῷ κρυστάλ- 6
λῳ τὰ ὀστᾶ τῶν ποδῶν ἀφειδῶς θέουσαι. ὁ δὲ λα-

γὼς κοῦφός τέ ἐστιν καὶ δασεῖς ἔχει τοὺς πόδας, ὥστε
ἀλύπως θεῖν ἐν τῷ πάγῳ.

15 χρὴ δὲ ὅστις κύνας ἀγαθὰς ἔχει μήτε ἐγγύθεν ἐπι-
λύειν τῷ λαγῷ μήτε πλείους δυοῖν· καὶ γὰρ εἰ πάνυ
ὠκὺς τύχοι καὶ πολλὰς πολλάκις κύνας διαπεφευγώς,
ἀλλά γε ἐξ εὐνῆς ἀνιστάμενον καὶ σὺν βοῇ ἐπικειμέ-
νων ἐκπλαγῆναι ἀνάγκη καὶ πατάσσειν αὐτῷ τὴν
καρδίαν. καὶ ἐν τούτῳ πολλάκις γενναῖοι λαγῷ ἀκλεῶς
ἀπώλοντο, μηδὲν μήτε δράσαντες μήτε ἀποδειξάμε-
2 νοι μνήμης ἄξιον. ἐᾶν δὴ ὑπεκφυγεῖν ἀπὸ τῆς εὐ-
νῆς καὶ ἀναθαρρῆσαι. ὃ δέ, εἰ τύχοι δρομικός, ἐπαρεῖ
εὐθὺς τὰ ὦτα καὶ μεγάλα ἀπὸ τῆς εὐνῆς πηδήσεται· οἳ
δὲ διαρρίψαντες τὰ μέλη, καθάπερ οἱ σκιρτῶντες,
ἀπευθυνοῦσιν τὸν δρόμον. καὶ τότε ἄρα ἐστὶν τὸ
θέαμα ἄξιον τῶν πόνων, ὅσους ἐπὶ ταῖς κυσὶν πονεῖν
ἀνάγκη.

16 κράτιστοι δὲ τῶν λαγῶν οἱ ἐν τόποις περιφανέσιν
καὶ ἀναπεπταμένοις τὰς εὐνὰς ἔχοντες· ὑπὸ θάρρους γὰρ
οὐκ ἀποκρύπτουσιν σφᾶς, ἀλλὰ προκαλοῦνται, ἐμοὶ δο-
2 κεῖν, τὰς κύνας. οἱ δὲ αὐτοὶ οὗτοι ἐπειδὰν διώκωνται,
οὐκ ἐπὶ τὰς νάπας φεύγουσιν οὐδὲ ἐπὶ τὰ ἄλση, εἰ
καὶ πάνυ πλησίον τύχοι ὄντα, ὥστε εὐμαρῶς ἀφελέσθαι
αὑτοὺς τοῦ κινδύνου, ἀλλ' ἐς τὰ πεδία βιάζονται, ἐρί-
ζοντες πρὸς τὰς κύνας. καὶ εἰ μὲν βραδεῖαι κύνες ἕποιντο
αὐτοῖς, τοσοῦτον ὅσον διώκονται θέουσιν· εἰ δὲ ὠκεῖαι,
3 ὅσῃ δύναμις. πολλάκις δὲ ἤδη ἐς τὰ πεδία ἐκτραπέν-
τες εἰ αἴσθοιντο ἐφομαρτοῦσαν κύνα ἀγαθήν, ὡς ἐπι-
σκιάζεσθαι ὑπ' αὐτῆς, θαμινὰ ἐν τοῖς ἐξελιγμοῖς διαρ-
ρίψαντες αὑτὴν οἳ δὲ τρέπονται αὖ ἐπὶ τὰς νάπας, ἢ εἴ
4 που καταδύσιν γιγνώσκοιεν. καὶ τοῦτο τεκμήριον
ποιητέον ὅτι ἐκράτησεν ἡ κύων τοῦ λαγώ· οὐ γάρ τοι
ἐπὶ τῷ ἁλῶναι τὸ θηρίον ἐξάγουσιν τὰς κύνας ἀλλ' ἐς

ἀγῶνα δρόμου καὶ ἅμιλλαν οἵ γε τῇ ἀληθείᾳ κυνηγετι-
κοί. καὶ ἀγαπῶσιν εἰ ἐπιτύχοι ὁ λαγὼς τοῦ διασώσον-
τος, καὶ καταφυγόντα ἐς ἀκάνθας ἔστιν ὅτε ὀλίγας καὶ 5
ἐπτηχότα καὶ ἀπαγορεύοντα ἰδόντες οἳ δὲ ἀνακαλοῦ-
σιν τὰς κύνας, καὶ μάλιστα δή, εἰ καλῶς διαγωνίσαιτο.
ὥστε πολλάκις ἤδη ἔγωγε ἐφ' ἵππου ἐφομαρτῶν τῷ δρό-
μῳ καὶ ἁλόντι ἐπελθὼν ζῶντα ἀφειλόμην, καὶ ἀφελό-
μενος καὶ δήσας τὴν κύνα ἀφῆκα διαφυγεῖν τὸν λαγῶ.
καὶ εἰ ὕστερος ἀφικόμην ἢ ὥστε διασῶσαι, ἔπαισα τὴν
κεφαλήν, ὅτι ἀνταγωνιστὴν ἄρα ἀγαθὸν ἀπώλεσαν αἱ
κύνες. καὶ τούτου μόνου ἕνεκα οὐ σύμφημι τῷ ἐμαυ- 6
τοῦ ὁμωνύμῳ, ἀλλ' εὑρισκόμενον μὲν ὅστις ἴδοι τὸ θη-
ρίον καὶ διωκόμενον καὶ μεταθεόμενον, συγχωρῶ διότι
ἐπιλάθοιτο ἂν εἴ του ἐρῴη· ἁλισκόμενον δὲ ἰδεῖν οὔτε
ἡδὺ τὸ θέαμα ἀποφαίνω οὔτε ἐκπληκτικὸν ἀλλ' ἀνιαρὸν
μᾶλλον, καὶ οὐκ ἂν ἐπί γε τούτῳ ἐπιλαθέσθαι ἄν τινα
εἴ του ἐρῴη. ἀλλ' ἐκείνῳ γε τῷ Ξενοφῶντι, οὐκ ἐγνω- 7
κότι τὰς ὠκείας κύνας, συγγνωστὸν εἰ καὶ ἁλισκόμενος
λαγὼς μέγα θέαμα ἐφαίνετο. ἐφομαρτούσας δὲ τῷ δρό- 8
μῳ ἐπικλάζειν εἰ καὶ μὴ παρακελευσαίμην, οἶδα ὅτι
πολλὴ ἀνάγκη· ὥστε κἂν ἄναυδον κύνα ῥῆξαι φωνήν, οὐ
μεῖον ἤ, ὡς λόγος, τὸν Κροίσου υἱέα.

καὶ τὴν κύνα δὲ ἀνακαλεῖν ἀγαθόν· χαίρουσιν γὰρ 17
τὴν φωνὴν τοῦ δεσπότου γνωρίζουσαι, καὶ παραμυθίαν
ἴσχουσιν τῶν πόνων τὸ γιγνώσκειν ὅτι θεατὴς αὐταῖς
πάρεστιν καὶ ὅτι οὐ λανθάνουσιν ἀγωνιζόμεναι καλῶς.
καὶ δὴ τὸ ἐν πρώτῳ μὲν δρόμῳ, ὁσάκις φίλον, ἀνακα- 2
λεῖν οὐ κωλύω· ἐν δευτέρῳ δὲ ἢ τρίτῳ, ὁπότε εἰκὸς δια-
πεπονῆσθαι τὴν κύνα, κωλῦσαι ἄν μοι δοκῶ θαμινὰ
ἀνακαλεῖν αὐτὴν ὀνομαστί, μή ποτε ἄρα ὑπὸ μένους καὶ
προθυμίας, χαρίζεσθαι τῷ δεσπότῃ ἐθέλουσα, ἔπειτα
παρὰ δύναμιν ἐνταθεῖσα ῥήξειέν τι τῶν ἐντός. πολλ

γὰρ ἤδη οὕτω γε κύνες καὶ αἱ γενναιόταται διεφθάρη-
3 σαν. ἀλλὰ τηνικαῦτα ἀφιέναι διαγωνίζεσθαι, ὅπως
ἐθέλουσιν· οὐ γάρ τοι οὐδ' ἴσος ἀγὼν λαγῷ καὶ κυνί·
ἀλλ' ὃ μὲν ὅποι βούλεται θεῖ, ἡ δὲ ἐφομαρτεῖ· καὶ ὃ
μὲν ἐξελίξας τὸν δρόμον καὶ διαρρίψας τὴν κύνα ἵεται
τοῦ πρόσω, ἡ δέ, εἰ διαρριφθείη, πλάζεται. καὶ ἀνάγκη
φθάσαντα αὖ μεταθεῖν καὶ ἀναλαβεῖν, ὅσον ἐξηνέχθη
4 τοῦ δρόμου. καὶ αἱ δυσχωρίαι δὲ πρὸς τοῦ λαγὼ μᾶλλόν
τί εἰσιν ἢ τῆς κυνός, οἷα τὰ τραχέα καὶ οἱ φελλεῶνες καὶ
τὰ σιμὰ καὶ τὰ ἀνώμαλα, ὅτι κοῦφός τέ ἐστιν καὶ οἱ
πόδες αὐτῷ ὑπὸ δασύτητος οὐ ῥήγνυνται ἐν τοῖς τραχέ-
σιν. καὶ τὸ περὶ ψυχῆς δὲ θεῖν ἀφαιρεῖται τὴν αἴσθησιν
τῶν δυσκόλων.

18 ἔχουσαν δὲ τὴν κύνα ἢ καὶ ἄλλως κρατήσασαν τῷ
δρόμῳ καταπηδήσαντα ἀπὸ τοῦ ἵππου καταψᾶν χρὴ ἐπ-
ευφημοῦντα, καὶ τὴν κεφαλὴν φιλεῖν, καὶ τὰ ὦτα ἀπο-
τείνειν, καὶ ὀνομαστὶ ἐπιλέγειν "εὖγε ὦ Κιρρά, εὖγε ὦ
Βόννα, καλῶς γε ὦ Ὁρμή," καὶ ὅ τι περ ἄλλο ἑκάστῃ
ὄνομα αὐτὸ τοῦτο ἀνακαλοῦντα· χαίρουσιν γὰρ ἐπαινού-
2 μεναι, καθάπερ τῶν ἀνθρώπων οἱ γενναῖοι. ἡ δὲ εἰ
μὴ τύχοι ἀπηγορευκυῖα, πρόσεισιν ἐπιμειδιῶσα καὶ φι-
λοφρονουμένη. ἀγαθὸν δὲ ἐπὶ τούτῳ καὶ καλινδεῖσθαι
τὴν κύνα, καθάπερ τοὺς ἵππους ὁρῶμεν· δῆλον γὰρ ὅτι
μὴ ἀπηγόρευσεν ὑπὸ τοῦ δρόμου, καὶ ἅμα τὸν κάματον
παύει αὐτῶν.

19 θηρῶσιν δὲ Κελτοί, ὅσοι μὲν πλουτοῦσιν αὐτῶν καὶ
τρυφῶσιν, ἕωθεν ἐκπέμποντες ἐς τὰ χωρία τὰ ὕποπτα
τοὺς κατοπτεύσοντας, ὅπου τυγχάνει ἀναπαυόμενος λα-
γώς· καὶ ἔστιν ὁ ἀγγέλλων, εἰ τύχοι ὀφθείς, ἢ ὁπόσοι
2 ἂν τύχωσιν. ἔπειτα ἀφικόμενοι μεθιᾶσιν τὰς κύνας,
ἐξεγείραντες τὸ θηρίον, αὐτοὶ δὲ ἐφ' ἵππων ἕπονται.
20 ὅσοις δὲ οὐκ εἰσὶν οἱ κατοπτεύσοντες, οἱ μὲν αὐτῶν

πλείους συνθήρους συναγαγόντες ἐξίασιν ἐφ' ἵππων, καὶ
τὰ ὕποπτα ἐπερχόμενοι, ὅπου ἂν τύχῃ ἐξεγερθεὶς λα-
γώς, μεθιᾶσιν τὰς κύνας· ὅσοι δέ τι μᾶλλον αὐτουργοί
εἰσιν κυνηγεσίων, πεζοὶ ἐξίασιν, εἷς δέ τις αὐτοῖς ἐφ'
ἵππου ἐφομαρτεῖ, καὶ οὗτος διώκειν τέτακται ἅμα ταῖς
κυσίν. ἐκπεριίασιν δὲ ἐπὶ μετώπου ταχθέντες· ἔπειτα 2
ἐπ' εὐθείας προελθόντες, ὅσον σύμμετρον διανῦσαι, ἐπι-
στρέψαντες αὖ ἀνακάμπτουσιν παρὰ τὰ αὐτὰ διὰ τῶν
αὐτῶν, μηδὲν ἐς δύναμιν παραλείποντες τῶν ὑπόπτων.
χρὴ δὲ εἰ πλείους κύνας ἐπαγάγοιντο, μὴ εἰκῇ τεταγμέ- 3
νους ἰέναι· εἰ γάρ τοι ἐξεγερθείη τῆς εὐνῆς λαγώς, οὐκ
ἔστιν ὅστις ἂν ἀπόσχοιτο μὴ οὐκ ἐφεῖναι τὴν ἑαυτοῦ
κύνα, ὃ μὲν ἐπιθυμίᾳ τοῦ θέουσαν ἰδεῖν τὴν αὐτοῦ ἕκα-
στος, ὃ δέ τις ἐκπλαγεὶς πρὸς τὴν βοὴν καὶ ἔκφρων γε-
νόμενος· ἁλίσκοιτό τε ἂν ἄνευ ἀγῶνος λαγὼς ὑπὸ θορυ-
βούντων κυνῶν, καὶ τοῦ θεάματος ὅ τι περ ὄφελος
ἀπολλύοιτο. ἀλλ' ἄρχοντα χρὴ ἐπιτετάχθαι τῇ θήρᾳ, 4
καὶ οὗτος συνδυαζέτω τὰς κύνας, καὶ ταττέτω ὡς εἰ
μὲν ταύτῃ πηδήσειεν, σὺ καὶ σὺ ἐπιλύειν, ἄλλος δὲ μὴ
λυέτω· εἰ δὲ ταύτῃ, αὖ σὺ καὶ σύ. οἳ δὲ ἐμπεδούντων
τὸ ταχθέν.

θηρῶσιν δὲ Κελτοὶ καὶ ἀναμιγνύοντες τοῖς ἰχνευ- 21
ταῖς κυσὶν τὰς ὠκείας. καὶ οἳ μὲν μαστεύουσιν, αὐτοὶ
δὲ διίστανται, μετὰ χεῖρας ἔχοντες τὰς κύνας τὰς ἀγα-
θάς, οἷπερ μάλιστα εἰκὸς τὸν λαγῶ ἀπευθῦναι τὸν δρό-
μον, ὥστε ἐφιέναι τῶν κυνῶν ὅπως ἂν τῳ προχωρῇ.
καὶ εἰσὶν αἱ κύνες αὗται ὅ τι περ αἱ ἄρκυς τῷ Ξενο- 2
φῶντι ἐκείνῳ. ἀλλ' ἄτακτοί τε οὕτω γίγνονται οἱ δρό-
μοι καὶ ὁ λαγώς, εἰ καὶ πάνυ ἀγαθὸς ὢν τύχοι, τὸ πολὺ
ὑπὸ τῆς κλαγγῆς τῶν κυνῶν ἐκπλήσσεται, καὶ εἰ μὴ πρὸ
πολλοῦ τύχοι προπηδήσας, ὡς καταστῆναι αὐτῷ τὴν
γνώμην, ἁλίσκεται εὐμαρῶς, ἔκφρων γενόμενος. χρὴ 3

οὖν ὅστις ἐπιλύει κύνα ἀγαθήν, μὴ ἐφεῖναι ἔτι θορυ-
βουμένῳ, ἀλλ' ἐάσαντα ἐξελιχθῆναι τοὺς ἑλιγμοὺς τοὺς
πρώτους, οὕτω μεθεῖναι τὴν κύνα, εἰ μὴ διαφθεῖραι
22 ἐθέλει τὴν θέαν. νεογνῷ δὲ ἐπιλύειν μὴ θέμις ἔστω,
ἀλλὰ χρὴ πειθομένους τῷ ἐμῷ ὁμωνύμῳ ἀφιέναι τού-
2 τους τῇ θεῷ. ὥστε καὶ τὰς ἰχνευούσας πειρατέον
ἀνακαλεῖν. κακαὶ δὲ ἀνακληθῆναι αὗται καὶ δυσπει-
θεῖς ὑπὸ λιμοῦ, δειναὶ δὲ καὶ καταφαγεῖν τὸν ἁλόντα·
ὥστε μόλις ἂν ξύλῳ παίων ἀπαλλάξειας αὐτάς.

23 χρὴ δὲ ἔλαφον ἤ τι ἄλλο ἐς μέγεθος προῆκον τοσόνδε
τόνδε τὸν τρόπον θηρᾶν, ἐφιέντα τὰς κύνας τὰς γεν-
ναίας· μέγα τε γὰρ τὸ θηρίον καὶ θεῖ ἐπὶ πολύ, καὶ
διαγωνίσασθαι οὐκ ἀσφαλές. καὶ ὁ κίνδυνος οὐ σμι-
2 κρὸς κύνα ἀγαθὴν ἐλάφου ἕνεκα διαφθαρῆναι. ἀλλὰ
τὰς ἐλάφους, ἔνθα τὰ πεδία εὐήλατα, ἐν μὲν Μυσοῖς
καὶ ἐν Γέταις καὶ ἐν Σκυθίᾳ καὶ ἀνὰ τὴν Ἰλλυρίδα, ἀφ'
ἵππων τῶν Σκυθικῶν καὶ Ἰλλυρικῶν διώκουσιν· οὗτοι
γὰρ ἐλαύνεσθαι μὲν τὰ πρῶτα οὐκ ἀγαθοί, ἀλλὰ κἂν
πάνυ καταφρονήσειας ἰδὼν παραβάλλοντας ἵππῳ Θεσ-
σαλῷ ἢ Σικελῷ ἢ Πελοποννησίῳ· διαπονούμενοι δὲ
3 ἐπίπαν ἀντέχουσιν. καὶ τότε ἂν ἴδοις τὸν μὲν ὠκὺν
ἐκεῖνον ἵππον καὶ μέγαν καὶ σοβαρὸν ἀπαγορεύοντα,
τὸν δὲ λεπτὸν καὶ ψωραλέον πρῶτα μὲν παραμείβοντα,
ἔπειτα ἀπολείποντα, ἔπειτα ἐλαύνοντα τὸ θηρίον. ὃ
4 δὲ ἐς τοσοῦτον ἄρα ἀντέχει, ἔστε ἀπαγορεῦσαι τὴν
ἔλαφον. ἀπαγορεύσασα δὲ καὶ χανοῦσα ὑπὸ ἀνοίας
ἵσταται, καὶ ἔξεστιν ἤδη, εἰ μὲν βούλοιο, ἀκοντίσαι ἐγ-
γύθεν ὡς πεπεδημένην, εἰ δὲ ἐθέλοις, καὶ ζώσῃ βρόχον
περιβαλόντα ἄγειν.

24 ἐν δὲ Λιβύῃ ἀφ' ἵππων τῶν Λιβυκῶν, οἳ δὴ Νομά-
δες καλοῦνται, οἵ τε ἄνδρες αὐτοὶ καὶ οἱ ἵπποι, ἀπὸ τού-

των τῶν ἵππων μὴ ὅτι ἐλάφους αἱροῦσιν ἢ δορκάδας
— ταῦτα μὲν γὰρ οὐδὲ διὰ πολλοῦ ἀγῶνος, οὐδὲ ἀγαθοὶ
ἵπποι δοκοῦσιν οἱ τοιοῦτόν τι ἑλόντες — ἀλλὰ καὶ τοὺς
ὄνους τοὺς ἀγρίους, οἳ δὴ ὠκύτητι διαφέροντές εἰσιν
καὶ τῷ ἐπὶ μήκιστον ἀντέχειν θέοντες. ὁπότε γοῦν ἐπὶ 2
μέγαν βασιλέα ἤλαυνον οἱ ἅμα Κύρῳ τῷ Δαρείου Ἕλ-
ληνες, οἷς καὶ Ξενοφῶν συνεστράτευεν, λέγει Ξενο-
φῶν, ὅτε τὰ πεδία τὰ Ἀραβίων ἐξήνυον, ἀγέλας προφαί-
νεσθαι τῶν ὄνων τῶν ἀγρίων, καὶ ὑπὸ ἑνὸς μὲν ἱππέως
μήποτε ἁλῶναι ὄνον ἄγριον, διισταμένους δὲ ἄλλους
ἐπ' ἄλλοις ἐλαύνειν, τοὺς δὲ πολλοῖς ἀντίσχοντας τε-
λευτῶντας ἤδη ἀπαγορεύειν ὑπὸ καμάτου· οὕτως ἄρα
καὶ Κύρῳ τῷ μεγάλου μὲν βασιλέως παιδί, μεγάλου δὲ
βασιλέως ἀδελφῷ, οὐκ ἀγαθοὶ διώκειν ἵπποι ἦσαν. Λι- 3
βύων δὲ παῖδες ὀκταέτεις ἔστιν οἳ αὐτῶν, οἳ δὲ οὐ
πολλῷ πρεσβύτεροι, ἐπὶ γυμνῶν τῶν ἵππων ἐλαύνουσιν,
ῥάβδῳ χρώμενοι ἐπ' αὐτοῖς ὅσα Ἕλληνες χαλινῷ, καὶ
ἐς τοσοῦτον ἄρα ἐφομαρτοῦσιν τοῖς ὄνοις τοῖς ἀγρίοις,
ἔστε τελευτῶντες βρόχον περιβαλόντες τῷ θηρίῳ ἄγου-
σιν· τὸ δὲ ἕπεται ἡττημένον. οὕτω τοι θηρῶσιν 4
ὅσοις κύνες τε ἀγαθαὶ καὶ ἵπποι, οὐ πάγαις οὐδὲ ἄρκυ-
σιν οὐδὲ βρόχοις οὐδὲ ἁπλῶς δόλοις καὶ σοφίσμασιν
ἐξαπατῶντες τὰ θηρία, ἀλλ' ἐκ τοῦ εὐθέος διαγωνιζό-
μενοι. καὶ ἔστιν τὰ θεάματα, ἐμοὶ δοκεῖν, οὐδέν τι 5
ἐκείνοις παραπλήσια, ἀλλὰ τὰ μὲν ληστείᾳ ἢ κλοπῇ ἔοι-
κεν, τὰ δὲ πολέμῳ τῷ ἀνὰ κράτος διαπολεμουμένῳ· καὶ
οἳ μὲν ὡς πειραταὶ λάθρᾳ ἐπιπλέοντες προσφέρονται
πρὸς τὰ θηρία, οἳ δέ, καθάπερ Ἀθηναῖοι Μήδων ἐκρά-
τησαν ναυμαχίᾳ περὶ Ἀρτεμίσιον ἢ περὶ Σαλαμῖνα καὶ
Ψυττάλειαν ἢ αὖθις περὶ Κύπρον, οὕτω δὲ καὶ οὗτοι
τῶν θηρίων ἐκ τοῦ ἐμφανοῦς κρατοῦσιν.

κυνὸς ἡλικία ἐς τὸ θεῖν. θήλειαν μὲν μετὰ μῆνα 25

ἑνδέκατον ἐξάγειν ἐπὶ θήραν, πρόσθεν δὲ ἔτι ἀπὸ δε-
κάτου μηνός, εἰ εὐπαγὴς τύχοι καὶ μὴ ὑγρομελής, λαγῶ
ἀπὸ χειρὸς ἀφιέναι ἐν χωρίῳ περιφανεῖ, καὶ τὴν μὲν
ἐγγύθεν ἐφιέναι τῷ λαγῷ, ὡς τήν τε ὄψιν αὐτὴν ἐμπίμ-
πλασθαι καὶ ἐγγὺς ὁρῶσαν μετ' ἐλπίδος ἀγαθῆς πονεῖν,
2 κύνα δὲ ἄλλην τελείαν ἐφιέναι ὕστερον, ὡς μὴ ἐπὶ
πολὺ κακοπαθῆσαι τὴν σκύλακα μηδὲ ἀπαγορεῦσαι ὑπὸ
καμάτου. ἣ δὲ θαμινὰ καὶ εὐμαρῶς ἐξελίσσουσα τὸν
λαγῶ παραδώσει τῇ σκύλακι. ἑλοῦσαν δὲ ἐᾶν σπαράξαι
3 τοῖς ὀδοῦσιν, ἔστε κατακανεῖν. ἐπειδὰν δὲ ἐξάγεσθαι
ἤδη ὥραν ἔχῃ, πρῶτα μὲν τὰς ὁδοὺς βαδίζειν, ὅσαι τρα-
χεῖαι αὐτῶν· ἀγαθὸν γὰρ τὸ μελέτημα ἐς τὸ πῆξαι τοὺς
4 πόδας ταῖς κυσίν. ἔπειτα ἵστασθαι τὸν ἔχοντα αὐτὴν
ἐν χωρίῳ περιφανεῖ καὶ ὑπερδεξίῳ, καὶ φθάσαντι μὲν
τῷ λαγῷ καὶ προλαβόντι οὐχ ὁρῶσαν μὴ ἐφιέναι· τοῦτο
γάρ τοι περὶ τῶν ἐς ἰχνείαν ἀσκουμένων κυνῶν παραι-
5 νεῖ ὁ Ξενοφῶν ἐκεῖνος. κύνα δὲ ὠκεῖαν εἰ μὴ ὁρῶσαν
ἐπιλύσειας, πλάζεται καὶ σκιρτᾷ καὶ ἔκφρων γίγνεται
6 καὶ ἀνασοβεῖται. καὶ τοίνυν εἴ ποτε διαφύγοι αὐτὴν
τελεωθεῖσαν ἤδη ὁ λαγώς, οὐκ ἀτρέμα ἔχει ἑαυτὴν οὐδὲ
ἐπὶ τὸν κυναγωγὸν ἐπάνεισιν οὐδὲ ἀνακαλοῦντος ὑπα-
κούει, ἀλλ' ὑπὸ μελέτης τοῦ θεῖν ἐπὶ μηδενὶ εἰκῇ πλά-
7 ζεται, καὶ μαινομένῃ ἔοικεν. ἀλλ' ἵστασθαι μὲν τὸν
ἔχοντα τὴν σκύλακα ἐν χωρίῳ, ὁποῖον ἤδη μοι λέλεκται,
κρυπτόμενον οἷ μάλιστα τεκμήραιτο ἄν τις ὅτι πονού-
8 μενος ὁ λαγὼς ὑποκάμψας ἥξει. ἰδόντα δὲ διαπεπο-
νημένον ἐγγύθεν ἐφιέναι, μὴ κατὰ στόμα· ἡ μὲν
γὰρ κύων ἐξορμήσασα ἐπ' εὐθὺ ἐξενεχθήσεται, ὁ δὲ
λαγὼς ἐξελίξας εὐμαρῶς παραμείψει· τὴν δὲ πολὺ
ἀπολειφθῆναι ἀνάγκη καὶ χαλεπῶς ὑποκάμψαι, κα-
θάπερ αἱ τριήρεις εὐθυπλοοῦσαι οὐκ εὐμαρῶς ἐπι-
κάμπτουσιν, εἰ μὴ ἀνεθείη τὸ πολὺ τῆς εἰρεσίας αὐ-

ταῖς, ἀλλ᾽ ἐάσαντα παραμεῖψαι τὸν λαγῶ ἐκ τοῦ πλα- 9
γίου χρὴ ἐφιέναι. ἁλόντος δὲ ἐφομαρτείτω τις σπου-
δῇ, πρὶν ἐμφορηθῆναι τοῦ αἵματος τὴν κύνα, οὐχ
ὅτι δὴ τὰ κρέα ἄρα περὶ πολλοῦ ποιητέον ἀνδρὶ ἐς
κάλλος κυνηγετοῦντι, ἀλλ᾽ ὅτι πονηρὸν μάθημα κυνὶ
γενναίᾳ, λαγὼ ἐσθίειν. καὶ ἤδη πολλαὶ κύνες οὕτω
διεφθάρησαν, ἐπεὶ μακρῷ δρόμῳ ἀσθμαίνουσαι ἐνε-
πλήσθησαν, ἔπειτα πνιγεῖσαι ἀπώλοντο.

ἄρρενα δὲ μὴ πρόσθεν ἢ διέτη γενόμενον ἐξάγειν 26
ἐπὶ θήραν· πολὺ γάρ τοι ὕστερον τοῖς ἄρρεσιν πήγνυ-
ται τὰ μέλη. καὶ ὁ κίνδυνος οὐ σμικρός, ἀλλὰ πολλοὶ 2
ἤδη πρὶν τελεωθῆναι ἀγωνισάμενοι πρὸ ὥρας ἀπώ-
λοντο, καὶ μάλιστα δὴ ὅσοι γενναιότατοι· ὑπὸ γὰρ μέ-
νους τοσοῦτον ὅσον δύνανται θέουσιν. τὰ δὲ ἄλλα ὡσ- 3
αύτως παραφυλάσσειν, ὅσα ἐπὶ ταῖς θηλείαις ἤδη μοι
λέλεκται ὅπως πρακτέον. φυλάσσειν δὲ καὶ ἀπὸ ὀχείας 4
ἐντὸς τῆσδε τῆς ἡλικίας· οὔτε γὰρ ἡ γονή πω αὐτοῖς
πέπηγεν, ἀλλ᾽ ἔστιν ἐξίτηλος τὸ πολὺ καὶ ἀμαυρά, κα-
θάπερ ἡ τῶν παίδων, αὐτοί τε διαφθείρονται πάμπαν,
ὡς μηδὲν ἔτι πράττοντα ὕστερον ὀρθῶσαι τὴν ἁμαρ-
τίαν. ἀλλ᾽ ἀπὸ τρίτου μὲν ἔτους ἐφίεσθαι ἐν ὥρᾳ ἂν
εἴη τῇ συμμέτρῳ.

ἐφιέσθων δὲ ὧδε. φυλάξαι χρὴ τὴν κύνα, ἐπει- 27
δὰν ἀποκαθαρθῇ τοῦ αἵματος· πρόσθεν δὲ εἰ παρα-
λάβοιεν τὴν γονήν, τὸ πολὺ οὐ κρατοῦσιν, ἀλλ᾽ ἐκκλύ-
ζεται ὑπὸ τοῦ αἵματος, καθάπερ ταῖς γυναιξίν. προσ- 2
έχειν δὲ τὸν νοῦν ἐνταῦθα· βραχὺς γὰρ χρόνος δια-
γίγνεται, ἐν ᾧ οὐκέτι μὲν φέρεται αὐτῇ τὸ αἷμα, ἔτι
δὲ φυλάσσει τὴν ἐπιθυμίαν. ἀγαθὴ δὲ τῇ θηλείᾳ ἡλι-
κία ἡ ἀπὸ διέτους ἐς ἕβδομον ἔτος.

κράτιστον δὲ καθεῖρξαι ἐν ταὐτῷ τὸν ἄρρενα ἅμα 28
τῇ θηλείᾳ, αὐτὸν δὲ ἀφανῆ εἶναι· αἱ γὰρ ἐν τῷ ἐμ-

φανεῖ ὁμιλίαι οὐ γόνιμοι, εἰ χρὴ πείθεσθαι ἀνδρά-
σιν κυνηγετικοῖς. ὅσα δὲ τοιαῦτα λάθρα ὑπὸ κυνῶν
2 ἐσπουδάσθη, ἐπιτυχῆ γενέσθαι λόγος. μετὰ ταῦτα δὲ
ἐξάγειν μὲν ἐπὶ θήραν — ὁ γὰρ περίπατος ἀγαθὸν ἐς
ῥώμην ταῖς κυσίν —, ἐφιέναι δὲ αὐτὰς λαγῷ μηκέτι·
κίνδυνος γὰρ διαφθεῖραι ὑπερκαμοῦσαν ἢ ὑπερταθεῖ-
3 σαν. καὶ τὸν ἄρρενα δὲ μὴ ἐφιέναι ἐπὶ λαγῷ ὡσαύ-
τως, πρὶν ἀπὸ τοῦ καμάτου ἀμπαύσασθαι καὶ ῥωσθῆ-
ναι, ἑξήκοντα ἡμερῶν οὐ μεῖον· ἔπειτα ἐφιέναι ἐς ἀγῶνα
οὐδὲν κωλύσει.

29 κρατίστη δὲ ὥρα ἐς σκυλακείαν ἡ τοῦ ἦρος· εὐκρά-
τως γὰρ αὕτη μάλιστα ἔχει κρύους τε καὶ θάλπους. ὡς
τὸ μὲν κρύος τοῖς σκυλακίοις οὐκ ἀγαθὸν ἐς ἀνατροφήν,
ἄλλως τε καὶ ἀπορίᾳ γάλακτος· τὸ δὲ καῦμα ταῖς μη-
τράσιν χαλεπὸν ἐν τῇ ἀνατροφῇ· τὸ φθινόπωρον δὲ
ταύτῃ χεῖρον τοῦ ἦρος, ὅτι χειμὼν ἐπιλαμβάνει τὰ σκυ-
λάκια πρὶν παγῆναι.

30 τεκοῦσαν δὲ εἰ μὲν ἐθέλοις ἐπαναλαβεῖν τὴν πρό-
σθεν ὠκύτητα, μὴ ἐᾶν ἐκτρέφειν αὐτὴν ὅτι μὴ ἐς ὅσον
ἀποκουφίσαι τὸ πολὺ τοῦ γάλακτος· εἶτα δὲ ὑφελόντα
ἄλλαις παραδιδόναι κυσὶν ἐπιλεγόμενον γενναίας· τὸ
γὰρ τῶν ἀγεννῶν γάλα οὐ σύμφυλον ταῖς γενναίαις.
2 εἰ δὲ μηκέτι ἐς δρόμον ἐπιτηδείως ἔχουσα φαίνοιτο ἡ
κύων, κράτιστον ἐᾶν ὑπὸ τῇ τεκούσῃ καὶ μὴ ὑποβάλ-
λειν ὑφ᾽ ἑτέραν κύνα· αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι,
ᾗπερ καὶ ὁ Ξενοφῶν ἐκεῖνος ἀποφαίνει, οὐκ εἰσὶν
αὔξιμοι· τὸ δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθὸν καὶ τὸ
31 πνεῦμα. ὁπόταν δὲ ἤδη πλανᾶται τὰ σκυλάκια, ὀρθῶς
συμβουλεύει ὅτι χρὴ γάλακτι ἀνατρέφειν αὐτά, καὶ
ὅτι αἱ βαρεῖαι πλησμοναὶ τά τε σκέλη αὐτοῖς διαστρέ-
2 φουσιν καὶ τοῖς σώμασιν νόσους ἐμβάλλουσιν. καὶ
τὰ ὀνόματα δὲ ὅτι βραχέα καὶ εὐανάκλητα θετέον ταῖς

κυσίν, καὶ τοῦτο χρὴ πείθεσθαι αὐτῷ. καὶ ὅσα ἀναγέ-
γραφεν ὀνόματα, τὰ μὲν εὑρὼν τὰ δὲ καὶ αὐτὸς ποιή-
σας, δεξιῶς ἀναγέγραφεν. εἰ δὲ μήπω ἐθέλοις σκυλα- 3
κεῦσαι, φυλάσσειν ὡς ἀνυστὸν ἐπιμελέστατα τὰς κύνας,
ἐπειδὰν τῇ ἀνάγκῃ ταύτῃ ἔχωνται· ἀποπαυσαμέναις δὲ
οἱ μαστοὶ σφριγῶσιν καὶ ὑποπίμπλανται γάλακτος, καὶ
τείνεται τὰ ὑπὸ τῇ γαστρί. καὶ ἔστιν τηνικαῦτα οὐκ 4
ἀσφαλὲς ἐπιλύειν κύνα ἐπὶ λαγῷ· ῥήγνυνται γὰρ αὐ-
ταῖς αἱ λαγόνες. ὥστε οὐδὲ ἐς τὸ σκιρτῆσαι χρὴ λύειν
αὐτὰς ἅμα ἑτέρᾳ κυνί· ἁμιλλώμεναι γάρ ἔστιν ὅτε καὶ
ὑπὲρ δύναμιν συνταθεῖσαι ἐς ἴσον κίνδυνον καθίσταν-
ται. ἀλλὰ κράτιστον περιμεῖναι, ἔστε χαλάσαι αὐταῖς 5
τοὺς μαστούς. τεκμήριον δὲ ὅτι ἤδη ἀσφαλές, ἐπειδὰν
αἱ τρίχες ἀπορρέωσιν ἀθρόαι ἐπαφωμένῳ· τότε γὰρ λύ-
ονται, ἐμοὶ δοκεῖν, ἀπὸ τῆς ἀνάγκης τῆς πρόσθεν καὶ
παρίστανται ἤδη ἐς δρόμον. κύων δὲ θήλεια μὲν ὠκυ- 32
τέρα ἄρρενος, ἄρρην δὲ θηλείας διαπονεῖσθαι ἀμείνων.
καὶ ὅτι δι' ἔτους θεῖ, πολλῷ τινι ἐντιμότερον τὸ κτῆμα·
καὶ ὅτι θήλειαι μὲν πολλαὶ ἀγαθαί, ἄρρενος δὲ γενναίου
ἐπιτυχεῖν οὐκ εὐμαρές, καὶ ταύτῃ ἐντιμότερον. καὶ 2
αἱ θήλειαι μὲν ἀγαπητὸν εἰ καὶ ἐς πέμπτον ἔτος δια-
φυλάξειαν τὸ ὠκύ· ἄρρενες δὲ καὶ ἐς δέκατον διαφυ-
λάσσουσιν. ὥστε μέγα μοι δοκεῖ τὸ κτῆμα ἄρρην κύων
τῇ ἀληθείᾳ γενναῖος καὶ οὐκ ἄνευ θεῶν του εὐμενείας
παραγίγνεσθαι ἀνδρὶ κυνηγετικῷ. ἀλλὰ χρὴ θύειν Ἀρ- 33
τέμιδι Ἀγροτέρᾳ ἐπὶ τῷδε τῷ κτήματι· θύειν δὲ χρὴ
καὶ ἐπὶ θήρᾳ εὖ πράξαντα, καὶ ἀνατιθέναι ἀπαρχὰς τῶν
*ἁλισκομένων τῇ θεῷ, * * τε ἀποκαθαίρειν τὰς κύνας καὶ*
τοὺς κυνηγέτας, κατὰ τὰ πάτρια, ὡς νόμος.

Κελτῶν δὲ ἔστιν οἷς νόμος καὶ ἐνιαύσια θύειν τῇ 34
Ἀρτέμιδι, οἳ δὲ καὶ θησαυρὸν ἀποδεικνύουσιν τῇ θεῷ.
καὶ ἐπὶ μὲν λαγῷ ἁλόντι δύ' ὀβολὼ ἐμβάλλουσιν ἐς

τὸν θησαυρόν, ἐπὶ δὲ ἀλώπεκι δραχμήν, ὅτι ἐπίβουλόν
τὸ χρῆμα, καὶ τοὺς λαγῶς διαφθείρει· τούτου ἕνεκα
πλέον ἐμβάλλουσιν, ὡς ἐπὶ πολεμίῳ ἁλόντι. ἐπὶ δὲ δορ-
κάδι τέσσαρας δραχμάς, ὅτι μέγα τὸ ζῷον καὶ ἡ θήρα
2 ἐντιμοτέρα. περιελθόντος δὲ τοῦ ἔτους ὁπόταν τὰ γε-
νέθλια ἥκῃ τῆς Ἀρτέμιδος, ἀνοίγνυται μὲν ὁ θησαυρός,
ἀπὸ δὲ τοῦ συλλεχθέντος ἱερεῖον ὠνοῦνται, οἱ μὲν οἶν,
3 οἱ δὲ αἶγα, οἱ δὲ μόσχον, εἰ οὕτω προχωροίη. θύσαν-
τες δὲ καὶ τῶν ἱερείων ἀπαρξάμενοι τῇ Ἀγροτέρᾳ, ὡς
ἑκάστοις νόμος, εὐωχοῦνται αὐτοί τε καὶ αἱ κύνες. τὰς
κύνας δὲ καὶ στεφανοῦσιν ἐν τῇδε τῇ ἡμέρᾳ, ὡς δῆλον
εἶναι διότι ἐπ' αὐταῖς ἑορτάζουσιν.

35 καὶ ἐγὼ ἅμα τοῖς συνθήροις ἕπομαι τῷ Κελτῶν
νόμῳ, καὶ ἀποφαίνω ὡς οὐδὲν ἄνευ θεῶν γιγνόμενον
2 ἀνθρώποις ἐς ἀγαθὸν ἀποτελευτᾷ. ἀλλὰ καὶ ὅσοι ναυ-
τίλλονται ἀπὸ θεῶν ἄρχονται, ὅσοις γε τοῦ σῴζεσθαι
μέλει, καὶ ἀνασωθέντες χαριστήρια θύουσιν τοῖς θεοῖς
τοῖς θαλασσίοις, Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηί-
σιν. καὶ ὅσοι τὴν γῆν ἐργάζονται, Δήμητρι καὶ τῇ παιδὶ
αὐτῆς καὶ Διονύσῳ, οἱ δὲ ἀμφὶ τὰς τέχνας πονούμενοι
Ἀθηνᾷ καὶ Ἡφαίστῳ, καὶ οἱ ἀμφὶ παίδευσιν Μούσαις
καὶ Ἀπόλλωνι Μουσηγέτῃ καὶ Μνημοσύνῃ καὶ Ἑρμῇ,
οἱ δὲ ἀμφὶ τὰ ἐρωτικὰ Ἀφροδίτῃ καὶ Ἔρωτι καὶ Πει-
3 θοῖ καὶ Χάρισιν. οὕτω τοι καὶ τοὺς ἐπὶ θήρᾳ ἐσπου-
δακότας οὐ χρὴ ἀμελεῖν τῆς Ἀρτέμιδος τῆς Ἀγροτέρας
οὐδὲ Ἀπόλλωνος οὐδὲ Πανὸς οὐδὲ Νυμφῶν οὐδὲ Ἑρ-
μοῦ Ἐνοδίου καὶ Ἡγεμονίου, οὐδὲ ὅσοι ἄλλοι ὄρειοι
4 θεοί· εἰ δὲ μή, ἡμιτελῆ ἀποβαίνειν ἀνάγκη τὰ σπου-
δάσματα. καὶ γὰρ καὶ αἱ κύνες βλάπτονται, καὶ οἱ ἵπποι
36 χωλεύονται, καὶ οἱ ἄνθρωποι σφάλλονται. καὶ τοῦτό
γε δηλοῖ καὶ Ὅμηρος ἐν τῇ ποιήσει. Τεῦκρον μέν γε
τὸν τοξικώτατον Ἑλλήνων ἐν τῷ ἀγῶνι οὔ φησιν τυχεῖν

*ὅτι μὴ τῆς μηρίνθου, καὶ ταύτην διακόψαι, ἐπειδὴ μὴ
ἐπηύξατο τῷ Ἀπόλλωνι· Μηριόνην δέ, ἄνδρα οὐ τοξι-
κόν, ἐπευξάμενον τῷ Ἀπόλλωνι, ἀποπετομένης ἤδη τῆς
ὄρνιθος τυχεῖν. καὶ τοὺς ἐκγόνους δὲ τῶν ἐπὶ Θήβας* 2
σὺν Πολυνείκει στρατευσάντων ἑλεῖν τὰς Θήβας

πειθομένους τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·

*τοὺς δὲ πατέρας αὐτῶν, οὐδέν τι χείρους ἐκείνων ἐς
ἀλκήν γενομένους, διαφθαρῆναι ἐν Θήβαις, ὅτι μὴ
ἐπείθοντο τοῖς σημαινομένοις ὑπὸ θεῶν. καὶ τὸν Ἕκ-* 3
*τορα οὐ πεισθέντα Πουλυδάμαντι οὐκ ἐῶντι ἐπελαύνειν
ταῖς ναυσὶν τῶν Ἑλλήνων ἐπὶ τῷ δράκοντι τῷ καταβλη-
θέντι πρὸς τοῦ ἀετοῦ, ὡς οὐ σὺν κόσμῳ ἐπανελευσομέ-
νους, ὀλίγον ὕστερον ἔργῳ ἀναδιδαχθῆναι ὡς οὐκ ἀγα-
θὸν ἀπειθεῖν τῷ θείῳ. τούτοις χρὴ πειθομένους, κα-* 4
*θάπερ ἐπ' ἄλλῳ τῳ ἔργῳ, οὕτω δὲ καὶ ἐπὶ θήρᾳ ἄρχε-
σθαί τε ἀπὸ θεῶν καὶ χαριστήρια θύειν εὖ πράξαντας
καὶ σπένδειν καὶ εὐφημεῖν καὶ στεφανοῦν καὶ ὑμνεῖν
καὶ ἀπαρχὰς τῶν ἁλισκομένων ἀνατιθέναι, οὐ μεῖον ἢ
ἐπὶ νίκῃ πολέμου ἀκροθίνια.*

ΑΡΡΙΑΝΟΥ ΕΚΤΑΞΙΣ ΚΑΤ' ΑΛΑΝΩΝ

98 Ἡγεῖσθαι μὲν τῆς πάσης στρατιᾶς τοὺς κατασκό-
Blancard πους ἱππέας ἐπὶ δυοῖν τεταγμένους σὺν τῷ οἰκείῳ
ἡγεμόνι. ἐπὶ τούτοις δὲ τοὺς ἱπποτοξότας τοὺς Πε-
τραίους, καὶ τούτους ἐπὶ δυοῖν. ἀγόντων δὲ αὐτοὺς οἱ
99 δεκάδαρχοι. ἐπὶ δὲ τούτοις ἐπιτετάχθων οἱ ἀπὸ τῆς
ἴλης ᾗτινι Αὐριανοὶ ὄνομα. συντετάχθων δὲ αὐτοῖς
οἱ τῆς σπείρας τῆς τετάρτης τῶν Ῥαιτῶν, ἧς ἄρχων Δάφ-
νης Κορίνθιος. ἐπὶ τούτοις δὲ οἱ ἀπὸ τῆς ἴλης ᾗ ὄνομα
Κολῶνες. συντετάχθων δὲ αὐτοῖς Ἰτουραῖοι καὶ Κυρη-
ναῖοι καὶ οἱ ἀπὸ τῆς πρώτης Ῥαιτικῆς. συμπάντων δὲ
2 τούτων ἀρχέτω Δημήτριος. ἐπὶ τούτοις δὲ οἱ Κελτοὶ
ἱππῆς, καὶ οὗτοι ἐπὶ δυοῖν, καὶ τούτων ἡγείσθω ἑκα-
τόνταρχος, ὥσπερ ἐπὶ στρατοπέδου.
3 πεζοὶ δὲ ἐπὶ τούτοις τετάχθων, τὰ σημεῖα ἀνα-
τεταμένα πρὸ σφῶν ἔχοντες, οἵ τε Ἰταλοὶ καὶ Κυρηναίων
οἱ παρόντες. πάντων δὲ ἡγείσθω Πούλχερ, ὅσπερ ἄρχει
τοῖς Ἰταλοῖς. Βοσποριανοὶ δὲ ἐπὶ τούτοις πεζοὶ ἰόντων,
ἡγεμόνα παρεχόμενοι Λαμπροκλέα, καὶ οἱ Νομάδες ἐπὶ
100 τούτοις ὑποτεταγμένοι Οὐήρῳ τῷ σφετέρῳ ἄρχοντι.
4 ἡ τάξις δὲ ἔστω ἐς ὁπλίτας τέσσαρας. αὐτῶν δὲ τού-
των ὅσοι τοξόται ἡγείσθων. τὰς δὲ πλευρὰς τῆς τάξεως
φυλασσόντων ἑκατέρωθεν οἱ ἱππεῖς οἱ Ἀκεῖοι. ἐπὶ δὲ
τούτοις οἱ ἐπίλεκτοι ἱππεῖς ἰόντων, καὶ ἐπὶ τούτοις οἱ

ἀπὸ τῆς φάλαγγος ἱππῆς, ἔπειτα οἱ καταπέλται, ἔπειτα 5
τὸ σημεῖον τῆς πεντεκαιδεκάτης φάλαγγος, καὶ ἀμφ'
αὐτῷ ὁ ἡγεμὼν τῆς φάλαγγος Οὐάλης, καὶ ὁ ὕπαρχος
καὶ οἱ χιλίαρχοι οἷς τέτακται, καὶ οἱ ἑκατόνταρχοι οἱ
τῆς πρώτης σπείρας ἐπιστάται. πρὸ δὲ τοῦ σημείου αὖ
τῶν πεζῶν οἱ ἀκοντισταὶ τετάχθων. αὐτοὺς δὲ τοὺς
πεζοὺς ἐπὶ τεσσάρων τεταγμένους ἰέναι. ἐπὶ δὲ τῇ πεντε- 6
καιδεκάτῃ φάλαγγι τετάχθω τὸ σημεῖον τῆς δωδεκάτης
φάλαγγος, καὶ χιλίαρχοι ἀμφ' αὐτῷ καὶ ἑκατόνταρχοι.
ἐπὶ τεσσάρων ὡσαύτως καὶ ἥδε ἡ φάλαγξ ἴτω τεταγμένη.

ἐπὶ δὲ τῷ ὁπλιτικῷ τετάχθω τὸ συμμαχικόν, οἵ τε 7
ἀπὸ τῆς σμικρᾶς Ἀρμενίας καὶ Τραπεζουντίων οἱ ὁπλῖ- 101
ται καὶ οἱ Κόλχοι καὶ Ῥιζιανοὶ οἱ λογχοφόροι. ἐπιτετά-
χθων δὲ αὐτοῖς οἱ Ἀπλανοὶ πεζοί. παντὸς δὲ τοῦ συμμαχι-
κοῦ ἡγεμὼν ἔστω Σεκουνδῖνος, ὅσπερ τῶν Ἀπλανῶν
ἡγεῖται. ἐπὶ τούτοις δὲ τὰ σκευοφόρα ἑπέσθω. οὐραγείτω 8
δὲ ἡ ἴλη τῶν Γετῶν καὶ ὁ ταύτης ἴλαρχος. τὰς πλευρὰς 9
δὲ τοῦ πεζικοῦ κοσμούντων μὲν ἑκατόνταρχοι καὶ οἱ
ἐπὶ τῷδε τεταγμένοι, φυλακῆς δὲ ἕνεκα ἴλη ἡ Ἀλλα-
κτικὴ παριππευέτω ἐπὶ ἕνα στοῖχον ἑκατέρωθεν τεταγ-
μένη, καὶ οἱ τῶν Ἰταλῶν ἱππῆς. ὁ δὲ ἴλαρχος αὐτῶν
ἐπιφοιτάτω ταῖς πλευραῖς. ὁ δὲ ἡγεμὼν τῆς πάσης 10
στρατιᾶς Ξενοφῶν τὸ πολὺ μὲν πρὸ τῶν σημείων τῶν
πεζικῶν ἡγείσθω, ἐπιφοιτάτω δὲ πάσῃ τῇ τάξει, καὶ
ἐπισκοπείτω ὅπως τεταγμένοι ἴασι, καὶ τοὺς μὲν 102
ἀτακτοῦντας ἐς τάξιν ἐπαναγέτω, τοὺς δὲ ἐν κόσμῳ
ἰόντας ἐπαινείτω.

οὕτω μὲν τεταγμένους ἰέναι. ἐλθόντας δὲ ἐς τὸ 11
ἀποδεδειγμένον χωρίον, τὴν μὲν ἵππον πᾶσαν περι-
στῆσαι ἐν κύκλῳ ἐς τετράγωνον τάξιν, τοὺς κατασκό-
πους δὲ πέμψαι ἐς τὰ ὑπερδέξια χωρία σκοπῆς ἕνεκα
τῶν πολεμίων. ἐνταῦθα δὲ ἀπὸ σημείου ὁπλίζεσθαι

12 σιγῇ, ὁπλισαμένους δὲ ἐς τάξιν καθίστασθαι. ἡ τάξις
δὲ ἔστω ἥδε. τὸ μὲν κέρας ἑκάτερον τῶν πεζῶν τὰ
ὑπερδέξια ἐχέτω τῶν χωρίων, ὅτι ἐν τοιῷδε ἡ ἔκταξις
ἔσται. ἐπιτετάχθων δὲ τῷ κέρᾳ τῷ μὲν δεξιῷ οἱ ἀμφὶ
Οὐασάκην καὶ Ἄρβηλον Ἀρμένιοι, τὸ ὑπερδεξιώτατον
τοῦ κέρως ἔχοντες, ὅτι τοξόται εἰσὶν οἱ σύμπαντες.
13 προτετάχθων δὲ αὐτῶν οἱ τῆς σπείρας τῆς Ἰταλικῆς
πεζοί. πάντων δὲ ἡγείσθω Πούλχερ, ὅσπερ καὶ τῆς σπεί-
ρας τῆς Ἰταλικῆς ἄρχει. καὶ τούτῳ ἐπιτετράφθω αὐτός
τε ὁ Οὐασάκης καὶ Ἄρβηλος καὶ τὸ ἐκείνων ἱππικόν τε
καὶ πεζικόν.
14 ἐπὶ δὲ τοῦ ἀριστεροῦ τετάχθων καὶ οὗτοι τὸ ὑπερ-
δεξιώτατον τοῦ κέρως ἔχοντες οἵ τε ἀπὸ τῆς σμικρᾶς
Ἀρμενίας σύμμαχοι καὶ οἱ Τραπεζουντίων γυμνῆτες καὶ
103 οἱ Ῥιζιανοὶ λογχοφόροι. προτετάχθων δὲ τούτων οἱ
Ἀπλανοὶ οἱ διακόσιοι, καὶ Κυρηναῖοι οἱ ἑκατόν, ὡς
προβολὴν μὲν εἶναι πρὸ τῶν ἀκοντιστῶν τοὺς ὁπλί-
15 τας, τοὺς δὲ ὑπερακοντίζειν ἐκ τοῦ ὑπερδεξιοῦ. τὸ δὲ
ἐν μέσῳ σύμπαν τὸ μὲν δεξιὸν ἐχέτω ἡ πεζικὴ φάλαγξ
ἡ πεντεκαιδεκάτη ὑπὲρ τὸ μέσον τοῦ παντὸς χωρίου,
ὅτι πολὺ πλείονες πλήθει οὗτοί εἰσι· τὸ δὲ ὑπόλοιπον
τοῦ ἀριστεροῦ ἐκπληρούντων οἱ τῆς δωδεκάτης φάλαγ-
γος πεζοὶ ἔστε ἐπὶ τὸ ἄκρον τοῦ κέρως τοῦ ἀριστεροῦ.
τετάχθων δὲ ἐπὶ ὀκτώ, καὶ πυκνὴ αὐτοῖς ἔστω ἡ σύγ-
16 κλεισις. καὶ αἱ μὲν πρῶται τέσσαρες τάξεις ἔστων
κοντοφόρων, ὧν δὴ τοῖς κοντοῖς μακρὰ καὶ ἐπίλεπτα τὰ
σιδήρια προῆκται. καὶ τούτους οἱ μὲν πρωτοστάται ἐς
προβολὴν ἐχόντων, ὡς εἰ πελάζοιεν αὐτοῖς οἱ πολέμιοι,
κατὰ τὰ στήθη μάλιστα τῶν ἵππων τίθεσθαι τῶν κον-
17 τῶν τὸν σίδηρον· οἱ δευτεροστάται δὲ καὶ οἱ τῆς
104 τρίτης καὶ τετάρτης τάξεως ἐς ἀκοντισμὸν προβεβλή-
σθων τοὺς κοντοὺς ὅπου τύχοι, καὶ ἵππους τρώ-

σοντες, καὶ ἱππότην κατακανοῦντες, ἢ θυρεῷ καὶ θώρακι
ἐμπαγέντος τοῦ κοντοῦ καὶ διὰ μαλθακότητα τοῦ σιδή-
ρου ἐπικαμφθέντος ἀχρεῖον τὸν ἀναβάτην ποιήσοντες.
αἱ δὲ ἐφεξῆς τάξεις λογχοφόρων ἔστων. ἐνάτη δὲ ἐπὶ 18
τούτοις ἔστω τάξις οἱ πεζοὶ τοξόται, οἱ τῶν Νομάδων
καὶ Κυρηναίων καὶ Βοσπορανῶν τε καὶ Ἰτουραίων.
μηχαναὶ δὲ ἐφεστάντων τῷ κέρᾳ ἑκατέρῳ, ὡς πορρωτάτω 19
προσιόντων τῶν πολεμίων ἐξακοντίζειν, καὶ αὗται κατ-
όπιν τῆς πάσης φάλαγγος.

Τὸ δὲ ἱππικὸν σύμπαν κατὰ ἴλας καὶ λόχους ὀκτὼ 20
συντεταγμένον ἐφεστάτω τοῖς πεζοῖς, τὸ μὲν τοῖς κέρα-
σιν ἑκατέροις προβολὴν ἔχον τοὺς ὁπλίτας πρὸ σφῶν
καὶ τοὺς τοξότας, λόχοι δύο· τὸ δὲ τῇ μέσῃ φάλαγγι, 105
λόχοι ἓξ * * μημιον. τούτων δὲ ὅσοι μὲν ἱπποτοξόται 21
πλησίον τῆς φάλαγγος ἐφεστάντων, ὡς ὑπερτοξεύειν
ὑπὲρ αὐτήν· ὅσοι δὲ λογχοφόροι ἢ κοντοφόροι ἢ μαχαι-
ροφόροι ἢ πελεκοφόροι ἐς τὰ πλάγιά τε ἑκατέρωθεν
ὁρώντων καὶ τὸ σύνθημα προσμενόντων. οἱ δὲ ἐπί- 22
λεκτοι ἱππῆς ἀμφ' αὐτὸν Ξενοφῶντα ἔστων, καὶ τῶν
ἀπὸ τῆς φάλαγγος πεζῶν ὅσον ἐς διακοσίους, οἱ σωμα-
τοφύλακες, καὶ ἑκατόνταρχοι ὅσοι τοῖς ἐπιλέκτοις συν-
τεταγμένοι, καὶ οἱ τῶν σωματοφυλάκων ἡγεμόνες, καὶ
δέκαρχοι οἱ τῶν ἐπιλέκτων. ἔστων δὲ ἀμφ' αὐτὸν * * ας 23
ἑκατὸν κούφων λογχοφόρων, ὡς πᾶσαν ἐπιφοιτῶν
τὴν φάλαγγα ὅπου τι ἐνδεὲς καταμανθάνοι, ἐκεῖνο ἴδῃ
καὶ θεραπεύσῃ. ἡγείσθω δὲ τοῦ μὲν δεξιοῦ κέρως παν- 24
τὸς σὺν τῷ ἱππικῷ Οὐάλης, ὅσπερ καὶ τῆς πεντε-
καιδεκάτης φάλαγγος ἡγεμών ἐστιν· τοῦ δὲ ἀριστεροῦ 106
οἱ χιλίαρχοι τῆς δωδεκάτης.

οὕτω δὲ ταχθέντων σιγὴ ἔστω ἔστ' ἂν πελάσω- 25
σιν ἐντὸς βέλους οἱ πολέμιοι· πελαζόντων δὲ ἤδη ὡς

*μέγιστον καὶ φοβερώτατον ἀλαλάξειν σύμπαντας τῷ
Ἐνυαλίῳ, καὶ βέλη τε ἀπὸ μηχανῶν καὶ λίθους ἀφίε-
σθαι καὶ βέλη ἀπὸ τόξων, καὶ τὰς λόγχας οἱ λογχοφόροι
ἀκοντιζόντων, οἵ τε ψιλοὶ καὶ οἱ θειασταί. φερέσθων
δὲ καὶ λίθοι ἐς τοὺς πολεμίους ἀπὸ τοῦ συμμαχικοῦ ἐκ
τῶν ὑπερδεξίων, καὶ τὸ πᾶν ἀκροβολισμὸς ἔστω πανταχόθεν
ὡς ἔνι πυκνότατος ἐς τάραξίν τε τῶν ἵππων καὶ
26 ὄλεθρον τῶν ἱππέων. καὶ ἐλπὶς μὲν ὑπὸ τοῦ ἀδιηγήτου
πλήθους τῶν βελῶν μὴ ἐπὶ πλέον πελάσειν τῇ πεζικῇ
φάλαγγι ἐπελαύνοντας τοὺς Σκύθας· εἰ δὲ δὴ πελάζοιεν,
ἐγχρίμψαντας ταῖς ἀσπίσι καὶ τοῖς ὤμοις ἀντερείσαντας
δέχεσθαι τὴν προσβολὴν ὡς καρτερώτατα καὶ τῇ συγ-
κλείσει πυκνοτάτῃ τὰς πρώτας τρεῖς τάξεις συνερειδούσας
σφίσιν ὡς βιαιότατον οἷόν τε· τὴν τετάρτην δὲ ὑπερ-
107 ακοντίζειν τὰς λόγχας· καὶ τὴν πρώτην παίειν ἢ ἀκοντί-
27 ζειν τοῖς κοντοῖς ἀφειδῶς ἔς τε ἵππους καὶ αὐτούς. ἀπω-
σθέντων δὲ εἰ μὲν φυγὴ λαμπρὰ γένοιτο, διαχωρεῖν ἤδη
τὰς πεζικὰς τάξεις καὶ ἐπελαύνειν τοὺς ἱππέας, μὴ πάντας
τοὺς λόχους ἀλλὰ τοὺς ἡμίσεας· τετάχθαι δὲ πρώτους
28 οἵτινες καὶ πρῶτοι ἐπελάσουσιν. τοὺς δὲ ἄλλους ἡμίσεας
ἕπεσθαι μὲν τοῖς ἐπελαύνουσιν, ἐν τάξει δὲ καὶ μὴ παν-
τελεῖ τῇ διώξει χρωμένους, ὡς εἰ μὲν φυγὴ καρτερὰ
κατάσχοι, ἐκδέξασθαι τὴν πρώτην δίωξιν ἀκμήτοις τοῖς
ἵπποις, εἰ δέ τις ἐπιστροφὴ καταλαμβάνοι, ἐπιθέσθαι
29 τοῖς ἐπιστρέφουσιν. ὁμοῦ δὲ οἵ τε Ἀρμένιοι τοξόται
ἐπελαύνοντες τοξευόντων, ὡς μὴ παρασχεῖν ἀναστροφὴν
τοῖς φεύγουσι, καὶ οἱ λογχοφόροι οἱ γυμνῆτες δρόμῳ
ἐπέσθων· μένειν δὲ μηδὲ τὴν πεζικὴν τάξιν ἐν χώρᾳ ἔτι,
ἀλλὰ προχωρεῖν θᾶττον ἢ βάδην, ὡς εἴ τι καρτερώτερον
ἀπαντῴη ἀπὸ τῶν πολεμίων, αὖθις εἶναι προβολὴν πρὸ
τῶν ἱππέων.*

τάδε μὲν γίγνεσθαι, εἰ ἀπὸ τῆς πρώτης προσβολῆς 30
φυγῇ κατάσχοι τοὺς ἐναντίους· εἰ δὲ ἐπιστραφέντες ἐς
κύκλους ὑπὲρ τὰ κέρατα παρελαύνειν ἐθέλοιεν, ἀνατεί-
νεσθαι ἐς τὰ ὑπερδεξιώτερα ἔτι τὰ κέρατα αὐτῆς τῆς
ψιλῆς τοξείας· ὡς οὐ δοκιμάζω μήποτε ἀσθενῆ τῇ ἀνα- 108
τάσει τὰ κέρατα γιγνόμενα ἰδόντες δι᾽ αὐτῶν ὤσωνται
καὶ διακόψωσι τὸ πεζικόν. ὑπερβαλλόντων δὲ τὰ κέρατα 31
ἑκάτερα ἢ ὁπότερον οὖν, πᾶσα ἤδη ἀνάγκη πλαγίους μὲν
αὐτοῖς γίγνεσθαι τοὺς ἵππους, πλαγίους δὲ τοὺς κοντούς.
ἐνταῦθα δὴ ἐμβαλλόντων ἐς αὐτοὺς οἱ ἱππῆς, μὴ ἀκον-
τισμῷ ἔτι ἀλλὰ ταῖς σπάθαις αὖ συμφερόμενοι, οἱ δὲ
τοῖς πελέκεσιν. οἱ δὲ Σκύθαι γυμνοί τε ὄντες καὶ τοὺς
*ἵππους γυμνοὺς ἔχοντες * * **

ΑΡΡΙΑΝΟΥ
ΠΕΡΙΠΛΟΥΣ ΕΥΞΕΙΝΟΥ ΠΟΝΤΟΥ

Αὐτοκράτορι Καίσαρι Τραϊανῷ Ἀδριανῷ Σεβαστῷ
Ἀρριανὸς χαίρειν.

1 Ἐς Τραπεζοῦντα ἥκομεν, πόλιν Ἑλληνίδα, ὡς λέγει
ὁ Ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάσσῃ ᾠκισμένην, Σινωπέων
ἄποικον, καὶ τὴν θάλασσαν τὴν τοῦ Εὐξείνου ἄσμενοι
2 κατείδομεν ὅθενπερ καὶ Ξενοφῶν καὶ σύ. καὶ οἱ βωμοὶ
(2 Müller) ἀνεστᾶσιν ἤδη, λίθου μέντοι γε τοῦ τραχέος, καὶ τὰ
p. 2 Hudson γράμματα διὰ τοῦτο οὐκ εὔδηλα κεχάρακται, τὸ δὲ Ἑλ-
ληνικὸν ἐπίγραμμα καὶ ἡμαρτημένως γέγραπται, οἷα δὴ
ὑπὸ βαρβάρων γραφέν. ἔγνωκα οὖν τούς τε βωμοὺς
λίθου λευκοῦ ἀναθεῖναι, καὶ τὰ ἐπιγράμματα ἐγχαράξαι
3 εὐσήμοις τοῖς γράμμασιν. ὁ μὲν γὰρ ἀνδριὰς ἕστηκεν ὁ
σὸς τὸ μὲν σχῆμα ἐπιτηδείως — ἀποδείκνυσιν γὰρ τὴν
θάλασσαν —, τὴν δὲ ἐργασίαν οὔτε ὅμοιός σοι οὔτε
4 ἄλλως καλός· ὥστε πέμψον ἀνδριάντα ἄξιον ἐπονομά-
ζεσθαι σὸν ἐν τῷ αὐτῷ τούτῳ σχήματι· τὸ γὰρ χωρίον
ἐπιτηδειότατον ἐς μνήμην αἰώνιον.

2 πεποίηται δὲ καὶ ὁ νεὼς λίθου τετραγώνου οὐ φαύ-
(3) λως· ἀλλὰ τὸ τοῦ Ἑρμοῦ ἄγαλμα οὔτε τοῦ νεὼ ἄξιόν
ἐστιν οὔτε αὐτοῦ τοῦ χωρίου. εἰ δέ σοι δοκεῖ, πέμψον
μοι πεντάπουν μάλιστα Ἑρμοῦ ἄγαλμα· τηλικοῦτον γάρ
μοι δοκεῖ ἔσεσθαι ὥς γε πρὸς τὸν νεὼν σύμμετρον. καὶ
2 ἄλλο τοῦ Φιλησίου τετρ[illegible] [illegible] ὑπὸ τρόπου

δοκεῖ μοι σύνναος καὶ σύμβωμος ἔσεσθαι τῷ προπάτορι.
καὶ ὃ μέν τις τῷ Ἑρμῇ, ὃ δὲ τῷ Φιλησίῳ, ὃ δὲ καὶ
ἀμφοῖν θύσει παριών. χαριοῦνται δὲ καὶ οὗτοι κἀκεῖ-
νοι τῷ τε Ἑρμῇ καὶ τῷ Φιλησίῳ· τῷ μὲν Ἑρμῇ, ὅτι τὸν
ἔγγονον αὐτοῦ τιμῶσιν, τῷ δὲ Φιλησίῳ, ὅτι τὸν αὐτοῦ
προπάτορα. ὡς ἔγωγε καὶ ἐβουθύτησα ἐνταῦθα, οὐχ 3
ὥσπερ ὁ Ξενοφῶν ἐκεῖνος ἐν Κάλπης λιμένι ὑφ' ἁμάξης 3 H.
βοῦν λαβὼν δι' ἀπορίαν ἱερείων, ἀλλὰ τῶν Τραπεζουν-
τίων αὐτῶν παρασκευασάντων ἱερεῖον οὐκ ἀγεννές. καὶ
ἐσπλαγχνευσάμεθα αὐτόθι καὶ τοῖς σπλάγχνοις ἐπε-
σπείσαμεν. ὅτῳ δὲ πρώτῳ τἀγαθὰ ηὐχόμεθα, οὐ λαν- 4
θάνομέν σε τόν τε τρόπον τὸν ἡμέτερον οὐκ ἀγνοοῦντα
καὶ σαυτῷ συνειδότα ὅτι ἄξιος εἶ ὑπὲρ ὅτου πάντες ἂν
εὔξαιντο τἀγαθὰ κἂν ὅσοι ἡμῶν ἔλαττον ὑπὸ σοῦ εὖ
πεπόνθασιν.

ἐκ Τραπεζοῦντος δὲ ὁρμηθέντες τῇ μὲν πρώτῃ ἐς 3
Ὕσσου λιμένα κατήραμεν καὶ τοὺς πεζοὺς τοὺς ταύτῃ (4)
ἐγυμνάσαμεν· ἡ γὰρ τάξις αὕτη, ὡς οἶσθα, πεζῶν ἐστιν
καὶ ἱππέας εἴκοσιν ἐς διακονίαν ἔχει. ἀλλὰ καὶ τούτους
τὰς λόγχας ἀκοντίσαι ἐδέησεν. ἐνθένδε ἐπλέομεν, τὰ 2
μὲν πρῶτα ταῖς αὔραις ταῖς ἐκ τῶν ποταμῶν πνεού- (5)
σαις ἕωθεν καὶ ἅμα ταῖς κώπαις διαχρώμενοι· ψυχραὶ
μὲν γὰρ ἦσαν αἱ αὖραι, ὡς λέγει καὶ Ὅμηρος, οὐχ
ἱκαναὶ δὲ τοῖς ταχυναυτεῖν βουλομένοις. εἶτα γαλήνη
ἐπέλαβεν, ὥστε τῇ εἰρεσίᾳ μόνῃ ἐχρώμεθα. ἔπειτα 3
δὲ ἄφνω νεφέλη ἐπαναστᾶσα ἐξερράγη κατ' εὖρον
μάλιστα, καὶ ἐπήνεγκεν πνεῦμα ἐξαίσιον καὶ τοῦτο 4 H.
ἀκριβῶς ἐναντίον, ὅπερ κἂν μόνον ἀπώλεσεν ἡμᾶς·
κοίλην μὲν γὰρ δι' ὀλίγου τὴν θάλασσαν ἐποίησεν,
ὡς μὴ κατὰ τὰς κώπας μόνον ἀλλὰ καὶ ὑπὲρ τὰς παρ-
εξειρεσίας ἐπεσρεῖν ἡμῖν ἑκατέρωθεν ἀφθόνως τοῦ
ὕδατος, τοῦτο δὴ τὸ τραγικόν, 4

'καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεσρέει.'
ἀλλ' οὐ πλάγιόν γε ἦν τὸ κλυδώνιον. ταύτῃ καὶ ἠνύτο-
μεν μόλις καὶ χαλεπῶς τῇ εἰρεσίᾳ, καὶ μέντοι πολλὰ
παθόντες ἥκομεν ἐς τὰς Ἀθήνας.
4 ἔστιν γάρ τοι καὶ ἐν Πόντῳ τῷ Εὐξείνῳ χωρίον
(6) οὕτω καλούμενον, καί τι καὶ Ἀθηνᾶς ἱερόν ἐστιν αὐ-
τόθι Ἑλληνικόν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνομα εἶναι τοῦτο
2 τῷ χωρίῳ. καὶ φρούριόν τι ἐστὶν ἠμελημένον. ὁ δὲ
ὅρμος οἷος ὥρᾳ ἔτους δέχεσθαι οὐ πολλὰς ναῦς καὶ
σκέπην ταύταις παρέχειν ἀπὸ νότου ἀνέμου καὶ αὖ
τοῦ εὔρου· σῴζοιτο δ' ἂν καὶ τοῦ βορρᾶ τὰ ὁρμοῦντα
πλοῖα, ἀλλ' οὐ τοῦ γε ἀπαρκτίου οὐδὲ τοῦ θρᾳσκίου
μὲν ἐν τῷ Πόντῳ, σκίρωνος δὲ ἐν τῇ Ἑλλάδι καλουμέ-
3 νου. ἐς δὲ τὴν νύκτα βρονταί τε σκληραὶ καὶ ἀστρα-
5 H. παὶ κατεῖχον, καὶ πνεῦμα οὐ τὸ αὐτὸ ἔτι, ἀλλ' ἐς
νότον μεθειστήκει, καὶ δι' ὀλίγου ἀπὸ τοῦ νότου ἐς
λίβα ἄνεμον, καὶ ταῖς ναυσὶν οὐκέτι ἀσφαλὴς ὁ ὅρμος
4 ἦν. πρὶν οὖν παντάπασιν ἀγριωθῆναι τὴν θάλασσαν,
ὅσας μὲν αὐτὸ τὸ χωρίον αἱ Ἀθῆναι δέξασθαι ἐδύ-
ναντο, ταύτας αὐτοῦ ἐνεωλκήσαμεν, πλὴν τῆς τριήρους·
αὕτη γὰρ πέτρᾳ τινὶ ὑφορμοῦσα ἀσφαλῶς ἐσάλευεν.
5 τὰς δὲ πολλὰς ἐδόκει πέμπειν ἐς τοὺς αἰγιαλοὺς τοὺς
πλησίον νεωλκηθησομένας. καὶ ἐνεωλκήθησαν ὥστε
ἀπαθεῖς διαγενέσθαι πάσας πλὴν μιᾶς, ἥντινα ἐν τῷ
ὁρμίζεσθαι πρὸ τοῦ καιροῦ ἐπιστρέψασαν πλαγίαν
ὑπολαβὸν τὸ κῦμα ἐξήνεγκεν ἐς τὴν ἠόνα καὶ συνέτρι-
2 ψεν. ἀπεσώθη μέντοι πάντα, οὐ τὰ ἱστία μόνον καὶ
τὰ σκεύη τὰ ναυτικὰ καὶ οἱ ἄνθρωποι, ἀλλὰ καὶ οἱ ἧλοι,
καὶ ὁ κηρὸς ἀπεξύσθη, ὡς μηδενὸς ἄλλου ἢ ξύλων δεῖ-
σθαι ναυπηγησίμων ἐς τὴν κατασκευήν, ὧν παμπόλλη,
3 ὡς οἶσθα, ἀφθονία ἐστὶν κατὰ τὸν Πόντον. οὗτος ὁ
χειμὼν ἐπὶ δύο ἡμέρας κατεῖχεν. καὶ ἦν ἀνάγκη μένειν·

ἐχρῆν γὰρ ἄρα μηδὲ τὰς ἐν τῷ Πόντῳ Ἀθήνας παρα-
πλεῦσαι ἡμᾶς ὥσπερ τινὰ ὅρμον ἔρημον καὶ ἀνώνυμον.
ἐνθένδε ἄραντες ὑπὸ μὲν τὴν ἕω πλαγίου τοῦ κλύ- 6
δωνος ἐπειρώμεθα, προϊούσης δὲ τῆς ἡμέρας βορρᾶς (7)
ἐπιπνεύσας ὀλίγος κατέστησε τὴν θάλασσαν καὶ δια- 6 H.
τρεμῆσαι ἐποίησεν. καὶ ἤλθομεν πρὸ τῆς μεσημβρίας
σταδίους πλείους ἢ πεντακοσίους ἐς Ἄψαρον, ἵναπερ
αἱ πέντε σπεῖραί εἰσιν ἱδρυμέναι. καὶ τὴν μισθοφορὰν 2
τῇ στρατιᾷ ἔδωκα καὶ τὰ ὅπλα εἶδον καὶ τὸ τεῖχος καὶ
τὴν τάφρον καὶ τοὺς κάμνοντας καὶ τοῦ σίτου τὴν παρα-
σκευὴν τὴν ἐνοῦσαν. ἥντινα δὲ ὑπὲρ αὐτῶν τὴν γνώ-
μην ἔσχον, ἐν τοῖς Ῥωμαϊκοῖς γράμμασιν γέγραπται.
ὁ δὲ Ἄψαρος τὸ χωρίον λέγουσιν ὅτι Ἄψυρτος ἐκα- 3
λεῖτο πάλαι ποτέ· ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς
Μηδείας ἀποθανεῖν, καὶ τάφος Ἀψύρτου δείκνυται.
ἔπειτα διαφθαρῆναι τὸ ὄνομα ὑπὸ τῶν περιοίκων βαρ-
βάρων, καθάπερ καὶ ἄλλα πολλὰ διέφθαρται· ὁπότε 4
καὶ τὰ Τύανα τὰ ἐν τοῖς Καππαδόκαις Θόανα λέγουσιν
ὅτι ὠνομάζετο ἐπὶ Θόαντι, τῷ βασιλεῖ τῶν Ταύρων, ὃς
τοὺς ἀμφὶ Ὀρέστην καὶ Πυλάδην διώκων ἄχρι τῆσδε
τῆς χώρας ἐλθεῖν φημίζεται καὶ ἐνταῦθα νόσῳ ἀπο-
θανεῖν.

ποταμοὺς δὲ παρημείψαμεν ἐν τῷ παράπλῳ τῷ ἀπὸ 7
Τραπεζοῦντος τόν τε Ὕσσον, ὅτου ἐπώνυμος Ὕσσου (8)
λιμήν, ὃς ἀπέχει Τραπεζοῦντος σταδίους ὀγδοήκοντα καὶ
ἑκατόν, καὶ τὸν Ὄφιν, ὃς ἀπέχει Ὕσσου λιμένος ἐς ἐνε-
νήκοντα σταδίους μάλιστα καὶ ὁρίζει τὴν Κόλχων χώ-
ραν ἀπὸ τῆς Θιαννικῆς. ἔπειτα τὸν Ψυχρὸν καλού- 2
μενον ποταμὸν διέχοντα ὅσον τριάκοντα σταδίους ἀπὸ 7 H.
τοῦ Ὄφιος. ἔπειτα τὸν Καλὸν ποταμόν· καὶ οὗτος τρι-
άκοντα διέχει ἀπὸ τοῦ Ψυχροῦ. ἐχόμενος δέ ἐστιν ὁ
Ῥίζιος ποταμός, ἑκατὸν καὶ εἴκοσι σταδίους διέχων ἀπὸ

3 *τοῦ Καλοῦ. καὶ ἀπὸ τούτου τριάκοντα Ἄσκουρος ἄλλος*
ποταμός, καὶ Ἀδιηνός τις ἀπὸ τοῦ Ἀσκούρου ἑξήκοντα·
ἐνθένδε ἐς Ἀθήνας ὀγδοήκοντα καὶ ἑκατόν. ταῖς δὲ
Ἀθήναις Ζάγατις ποταμὸς ἑπτὰ μάλιστα σταδίους ἀπ'
αὐτῶν διέχων πρόσκειται. ἀπὸ δὲ τῶν Ἀθηνῶν ὁρμη-
θέντες τὸν Πρύτανιν παρημείψαμεν, ἵναπερ καὶ τὰ
Ἀγχιάλου βασίλειά ἐστιν. καὶ οὗτος ἀπέχει τεσσαρά-
4 *κοντα σταδίους ἀπὸ τῶν Ἀθηνῶν. τοῦ Πρυτάνεως δὲ*
ἔχεται ὁ Πυξίτης ποταμός· στάδιοι ἐνενήκοντα ἐν μέσῳ
ἀμφοῖν. καὶ ἀπὸ τοῦ Πυξίτου ἐς Ἄρχαβιν ἄλλοι ἐνενή-
(9) *κοντα, ἀπὸ δὲ Ἀρχάβιος ἐς Ἄψαρον ἑξήκοντα. ἀπὸ δὲ*
Ἀψάρου ἄραντες τὸν Ἄκαμψιν παρημείψαμεν νύκτωρ,
5 *ἐς πεντεκαίδεκα σταδίους ἀπέχοντα τοῦ Ἀψάρου. ὁ*
δὲ Βαθὺς ποταμὸς ἑβδομήκοντα καὶ πέντε ἀπέχει τού-
του, καὶ ὁ Ἀκινάσης ἀπὸ τοῦ Βαθέος ἐνενήκοντα, ἐνε-
νήκοντα δὲ καὶ ἀπὸ Ἀκινάσου ὁ Ἶσις. ναυσίποροι δέ
εἰσιν ὅ τε Ἄκαμψις καὶ ὁ Ἶσις, καὶ αὔρας τὰς ἑωθινὰς
ἰσχυρὰς ἐκπέμπουσιν. ἀπὸ δὲ Ἴσιος τὸν Μῶγρον παρ-
ημείψαμεν. ἐνενήκοντα στάδιοι μεταξὺ τοῦ Μώγρου
εἰσὶν καὶ τοῦ Ἴσιος. καὶ οὗτος ναυσίπορος.

8 *ἐνθένδε ἐς τὸν Φᾶσιν ἐσεπλεύσαμεν ἐνενήκοντα*
8 H. *τοῦ Μώγρου διέχοντα, ποταμῶν ὧν ἐγὼ ἔγνων κου-*
φότατον ὕδωρ παρεχόμενον καὶ τὴν χρόαν μάλιστα
2 *ἐξηλλαγμένον. τὴν μὲν γὰρ κουφότητα τῷ τε σταθμῷ*
τεκμαίροιτο ἄν τις, καὶ πρὸ τούτου, ὅτι ἐπιπλεῖ τῇ θα-
λάσσῃ, οὐχὶ δὲ συμμίγνυται, καθάπερ τῷ Πηνειῷ τὸν
Τιταρήσιον λέγει ἐπιρρεῖν Ὅμηρος 'καθύπερθεν ἠύτ'
3 *ἔλαιον'. καὶ ἦν κατὰ μὲν τοῦ ἐπιρρέοντος βάψαντα*
γλυκὺ τὸ ὕδωρ ἀνιμήσασθαι, εἰ δὲ ἐς βάθος τις καθῆ-
κεν τὴν κάλπιν, ἁλμυρόν. καίτοι ὁ πᾶς Πόντος πολύ
τι γλυκυτέρου τοῦ ὕδατός ἐστιν ἤπερ ἡ ἔξω θάλασσα·
καὶ τούτου τὸ αἴτιον οἱ ποταμοί εἰσιν. οὔτε πλῆθος οὔτε

καὶ καθαροῦ ὕδατος, καὶ ὅτι ὗλαι πρὸς τῇ θαλάσσῃ ξύ-
λων ναυπηγησίμων, καὶ αὗται ἔνθηροι, ταῦτα Ξενο-
φῶντι τῷ πρεσβυτέρῳ λέλεκται.

ἀπὸ Κάλπης λιμένος ἐς Ῥόην στάδιοι εἴκοσιν· ὅρ- 13
μος ναυσὶ σμικραῖς. ἀπὸ Ῥόης ἐς Ἀπολλωνίαν νῆσον (18)
σμικράν, ὀλίγον διέχουσαν τῆς ἠπείρου, ἄλλοι εἴκοσι.
λιμὴν ὑπὸ τῇ νησῖδι. καὶ ἔνθεν ἐς Χηλὰς στάδιοι εἴκοσιν.
ἀπὸ Χηλῶν ὀγδοήκοντα καὶ ἑκατόν, ἵναπερ Σαγγάριος
ποταμὸς ἐσβάλλει ἐς τὸν Πόντον. ἐνθένδε ἐς τοῦ Ὑπί- 2
ου τὰς ἐκβολὰς ἄλλοι ὀγδοήκοντα καὶ ἑκατόν. ἐς δὲ
Λίλλιον ἐμπόριον ἀπὸ τοῦ Ὑπίου στάδιοι ἑκατόν, καὶ 14 H.
ἀπὸ τοῦ Λιλλίου ἐς Ἐλαῖον ἑξήκοντα. ἐνθένδε ἐς Κά-
λητα, ἄλλο ἐμπόριον, εἴκοσι καὶ ἑκατόν. ἀπὸ Κάλητος 3
ἐς Λύκον ποταμὸν ὀγδοήκοντα, ἀπὸ δὲ Λύκου ἐς Ἡρά-
κλειαν πόλιν Ἑλληνίδα Δωρικήν, Μεγαρέων ἄποικον,
στάδιοι εἴκοσιν. ἐν Ἡρακλείᾳ ὅρμος ναυσίν. ἀπὸ δὲ (19)
Ἡρακλείας ἐπὶ μὲν τὸ Μητρῷον καλούμενον στάδιοι
ὀγδοήκοντα. ἐνθένδε ἐς τὸ Ποσείδειον τεσσαράκοντα, 4
καὶ ἔνθεν ἐς Τυνδαρίδας πέντε καὶ τεσσαράκοντα, πέντε
δὲ καὶ δέκα ἐνθένδε ἐπὶ τὸ Νυμφαῖον. καὶ ἀπὸ τοῦ
Νυμφαίου ἐπὶ τὸν Ὀξίναν ποταμὸν τριάκοντα. καὶ
ἀπὸ Ὀξίνα ἐς Σανδαράκην ἐνενήκοντα. Σανδαράκη ὅρ-
μος ναυσὶ σμικραῖς. ἐνθένδε ἐς Κρηνίδας ἑξήκοντα. 5
καὶ ἀπὸ Κρηνίδων ἐς Ψύλλαν ἐμπόριον τριάκοντα. ἐν-
θένδε ἐς Τίον, πόλιν Ἑλληνίδα Ἰωνικήν, ἐπὶ θαλάσσῃ
οἰκουμένην, Μιλησίων καὶ ταύτην ἄποικον, ἐνενήκοντα.
ἀπὸ δὲ Τίου ἐς Βιλλαῖον ποταμὸν στάδιοι εἴκοσιν. ἀπὸ
δὲ Βιλλαίου ἐπὶ τὸν Παρθένιον ποταμὸν στάδιοι ἑκατόν.
μέχρι τοῦδε Θρᾷκες οἱ Βιθυνοὶ νέμονται, ὧν καὶ Ξενο- 6
φῶν ἐν τῇ συγγραφῇ μνήμην ἐποιήσατο ὅτι μαχιμώ-
τατοι εἶεν τῶν κατὰ τὴν Ἀσίαν, καὶ τὰ πολλὰ κακὰ ἡ
στρατιὰ τῶν Ἑλλήνων ὅτι ἐν τῇδε τῇ χώρᾳ ἔπαθεν,

ταύτῃ πλεόντων. καὶ τάφρος διπλῆ περιβέβληται τῷ
4 τείχει, εὐρεῖα ἑκατέρα. πάλαι μὲν οὖν γήινον τὸ τεῖ-
χος ἦν, καὶ πύργοι ξύλινοι ἐφειστήκεσαν· νῦν δὲ ἐκ
10 H. πλίνθου ὀπτῆς πεποίηται καὶ αὐτὸ καὶ οἱ πύργοι· καὶ
τεθεμελίωται ἀσφαλῶς, καὶ μηχαναὶ ἐφεστᾶσιν, καὶ ἑνὶ
λόγῳ, πᾶσιν ἐξήρτυται πρὸς τὸ μηδὲ πελάσαι ἄν τινα
αὐτῷ τῶν βαρβάρων, μήτι γε δὴ ἐς κίνδυνον καταστῆ-
5 σαι πολιορκίας τοὺς ἐν αὐτῷ φρουροῦντας. ἐπειδὴ δὲ
καὶ τὸν ὅρμον ἐχρῆν ἀσφαλῆ εἶναι ταῖς ναυσὶ καὶ ὅσα
ἔξω τοῦ φρουρίου κατῴκεῖτο ὑπό τε τῶν πεπαυμένων
τῆς στρατιᾶς καί τινων καὶ ἄλλων ἐμπορικῶν ἀνθρώ-
πων, ἔδοξέ μοι ἀπὸ τῆς διπλῆς τάφρου, ἣ περιβέβληται
τῷ τείχει, ἄλλην τάφρον ἐμβαλεῖν ὡς ἐπὶ τὸν ποταμόν,
ἣ τό τε ναύσταθμον περιέξει καὶ τὰς ἔξω τοῦ τείχους
οἰκίας.

10 ἀπὸ δὲ τοῦ Φάσιδος Χαρίεντα ποταμὸν παρημείψα-
(13) μεν ναυσίπορον· στάδιοι μεταξὺ ἀμφοῖν ἐνενήκοντα.
καὶ ἀπὸ τοῦ Χαρίεντος ἐς Χῶβον ποταμὸν ἐσεπλεύσα-
μεν ἄλλους ἐνενήκοντα, ἵναπερ καὶ ὡρμίσθημεν. ὧν δὲ
ἕνεκα, καὶ ὅσα ἐνταῦθα ἐπράξαμεν, δηλώσει σοι τὰ Ῥω-
2 μαϊκὰ γράμματα. ἀπὸ δὲ τοῦ Χώβου Σιγγάμην ποταμὸν
παρημείψαμεν ναυσίπορον· διέχει δὲ τοῦ Χώβου στα-
δίους ἐς δέκα καὶ διακοσίους μάλιστα. ἔχεται δὲ τοῦ
Σιγγάμου Ταρσούρας ποταμός· στάδιοι εἴκοσι καὶ ἑκατὸν
μεταξὺ ἀμφοῖν. ὁ δὲ Ἵππος ποταμὸς τοῦ Ταρσούρου
πεντήκοντα σταδίους καὶ ἑκατὸν διέχει, καὶ τοῦ Ἵππου
3 ὁ Ἀστέλεφος τριάκοντα. παραμείψαντες δὲ τὸν Ἀστέ-
(14) 11 H. λεφον ἐς Σεβαστόπολιν ἥκομεν πρὸ μεσημβρίας, ἀπὸ
Χώβου ὁρμηθέντες, σταδίους εἴκοσι καὶ ἑκατὸν τοὺς
ἀπὸ Ἀστελέφου, ὡς καὶ τὴν μισθοφορὰν τοῖς στρατιώ-
ταις δοῦναι τῆς αὐτῆς ἡμέρας, καὶ τοὺς ἵππους καὶ τὰ
ὅπλα ἰδεῖν καὶ τοὺς ἱππέας ἀναπηδῶντας ἐπὶ τοὺς ἵπ-

πους καὶ τοὺς κάμνοντας καὶ τὸν σῖτον, καὶ τὸ τεῖχος
περιελθεῖν καὶ τὴν τάφρον. στάδιοι ἀπὸ μὲν Χώβου 4
ἐς Σεβαστόπολιν τριάκοντα καὶ ἑξακόσιοι· ἀπὸ Τραπε-
ζοῦντος δὲ ἐς Σεβαστόπολιν ἑξήκοντα καὶ διακόσιοι
καὶ δισχίλιοι. ἡ δὲ Σεβαστόπολις πάλαι Διοσκουριὰς
ἐκαλεῖτο, ἄποικος Μιλησίων.

ἔθνη δὲ παρημείψαμεν τάδε. Τραπεζουντίοις μέν, 11
καθάπερ καὶ Ξενοφῶν λέγει, Κόλχοι ὅμοροι. καὶ οὓς[15]
λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς
Τραπεζουντίοις, ἐκεῖνος μὲν Δρίλας ὀνομάζει, ἐμοὶ δὲ
δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι. καὶ γὰρ μαχιμώτατοί
εἰσιν ἐς τοῦτο ἔτι καὶ τοῖς Τραπεζουντίοις ἐχθρότατοι,
καὶ χωρία ὀχυρὰ οἰκοῦσιν, ἔθνος ἀβασίλευτον καὶ πά- 2
λαι μὲν καὶ φόρου ὑποτελὲς Ῥωμαίοις, ὑπὸ δὲ τοῦ λη-
στεύειν οὐκ ἀκριβοῦσιν τὴν ἀποφοράν. ἀλλὰ νῦν γε δι-
δόντος θεοῦ ἀκριβώσουσιν, ἢ ἐξελοῦμεν αὐτούς. τούτων
δὲ ἔχονται Μάκρωνες καὶ Ἡνίοχοι· βασιλεὺς δ' αὐτῶν
Ἀγχίαλος. Μακρώνων δὲ καὶ Ἡνιόχων ἐχόμενοι Ζυ-
δρεῖται· Φαρασμάνου οὗτοι ὑπήκοοι. Ζυδρειτῶν δὲ
Λαζοί· βασιλεὺς δὲ Λαζῶν Μαλάσσας, ὃς τὴν βασι- 12 H.
λείαν παρὰ σοῦ ἔχει. Λαζῶν δὲ Ἀψίλαι ἔχονται· βα- 3
σιλεὺς δὲ αὐτῶν Ἰουλιανός· οὗτος ἐκ τοῦ πατρὸς τοῦ
σοῦ τὴν βασιλείαν ἔχει. Ἀψίλαις δὲ ὅμοροι Ἀβασκοί·
καὶ Ἀβασκῶν βασιλεὺς Ῥησμάγας· καὶ οὗτος παρὰ σοῦ
τὴν βασιλείαν ἔχει. Ἀβασκῶν δὲ ἐχόμενοι Σανίγαι, ἵνα-
περ καὶ ἡ Σεβαστόπολις ᾤκισται· Σανιγῶν βασιλεὺς
Σπαδάγας ἐκ σοῦ τὴν βασιλείαν ἔχει. — μέχρι μὲν δὴ 4
Ἀψάρου ὡς πρὸς ἕω ἐπλέομεν ἐν δεξιᾷ τοῦ Εὐξείνου,[16]
ὁ δὲ Ἄψαρος πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ
Πόντου· ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγί-
γνετο ἔστε ἐπὶ Χῶβον ποταμόν, καὶ ὑπὲρ τὸν Χῶβον ἐπὶ
τὸν Σιγγάμην. ἀπὸ δὲ Σιγγάμου ἐκάμπτομεν ἐς τὴν λαιὰν

5 *πλευρὰν τοῦ Πόντου ἔστε ἐπὶ τὸν Ἵππον ποταμόν. ἀπὸ δὲ τοῦ Ἵππου ὡς ἐπ' Ἀστέλεφον καὶ Διοσκουριάδα κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς. καὶ τοῦ Καυκάσου κορυφή τις ἐδείκνυτο — Στρόβιλος τῇ κορυφῇ ὄνομα —, ἵναπερ ὁ Προμηθεὺς κρεμασθῆναι ὑπὸ Ἡφαίστου κατὰ πρόσταξιν Διὸς μυθεύεται.*

12 *τὰ δὲ ἀπὸ Βοσπόρου τοῦ Θρᾳκίου ἔστε ἐπὶ Τραπε-*
(17) *ζοῦντα πόλιν ὧδε ἔχει. κατὰ τὸν Θρᾴκιον Βόσπορον καὶ τὸ στόμα τοῦ Εὐξείνου Πόντου ἐν τοῖς δεξιοῖς τῆς Ἀσίας μέρεσιν, ἅπερ ἐστὶ τοῦ Βιθυνῶν ἔθνους, κεῖται χωρίον λεγόμενον Ἱερόν, ἐν ᾧ νεὼς ἐστι Διὸς Οὐρίου οὕτω προσαγορευομένου. τοῦτο δὲ τὸ χωρίον ἀφετήριόν*
2 *ἐστι τοῖς ἐς τὸν Πόντον πλέουσιν. ἐσπλεύσαντι δὲ ἐς τὸν Πόντον, ἐν δεξιᾷ δὲ τὴν Ἀσίαν ἔχοντι καὶ περιπλέοντι τὸ ἐχόμενον μέρος τοῦ Βιθυνῶν ἔθνους τὸ πρὸς τὸν Πόντον κείμενον, ὁ περίπλους ὧδε ἔχει. τὸ Ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου διέχει ἀπὸ Βυζαντίου σταδίους εἴκοσι καὶ ἑκατόν. καὶ ἔστιν Στενότατον ταύτῃ τὸ στόμα τοῦ Πόντου καλούμενον, καθ' ὅ τι ἐσβάλλει*
3 *ἐς τὴν Προποντίδα. ταῦτα μὲν εἰδότι σοι λέγω. ἀπὸ*
13 H. *δὲ τοῦ Ἱεροῦ πλέοντι ἐν δεξιᾷ Ῥήβας ποταμός· σταδίους διέχει τοῦ Ἱεροῦ τοῦ Διὸς ἐνενήκοντα. ἔπειτα ἡ Μέλαινα ἄκρα ὧδε καλουμένη, πεντήκοντα καὶ ἑκατόν. ἀπὸ Μελαίνης ἄκρας ἐς Ἀρτάνην ποταμόν, ἵνα καὶ ὅρμος ναυσὶ σμικραῖς πρὸς ἱερῷ Ἀφροδίτης, πεντήκοντα*
4 *ἄλλοι καὶ ἑκατόν. ἀπὸ δὲ Ἀρτάνου ἐς Ψίλλιν ποταμὸν πεντήκοντα καὶ ἑκατόν· καὶ πλοῖα σμικρὰ ὁρμίζοιτο ἂν πρὸς τῇ πέτρᾳ τῇ ἀνεχούσῃ οὐ πόρρω ἀπὸ τοῦ ποταμοῦ τῶν ἐκβολῶν. ἐνθένδε ἐς Κάλπης λιμένα δέκα καὶ δια-*
5 *κόσιοι στάδιοι. ὁ δὲ Κάλπης λιμὴν ὁποῖόν τι χωρίον ἐστὶν καὶ ὁποῖος ὅρμος, καὶ ὅτι πηγὴ ἐν αὐτῷ ψυχροῦ*

καὶ καθαροῦ ὕδατος, καὶ ὅτι ὗλαι πρὸς τῇ θαλάσσῃ ξύ-
λων ναυπηγησίμων, καὶ αὗται ἔνθηροι, ταῦτα Ξενο-
φῶντι τῷ πρεσβυτέρῳ λέλεκται.

ἀπὸ Κάλπης λιμένος ἐς Ῥόην στάδιοι εἴκοσιν· ὅρ- 13
μος ναυσὶ σμικραῖς. ἀπὸ Ῥόης ἐς Ἀπολλωνίαν νῆσον[18]
σμικράν, ὀλίγον διέχουσαν τῆς ἠπείρου, ἄλλοι εἴκοσι.
λιμὴν ὑπὸ τῇ νησῖδι. καὶ ἔνθεν ἐς Χηλὰς στάδιοι εἴκοσιν.
ἀπὸ Χηλῶν ὀγδοήκοντα καὶ ἑκατόν, ἵναπερ Σαγγάριος
ποταμὸς ἐσβάλλει ἐς τὸν Πόντον. ἐνθένδε ἐς τοῦ Ὑπί- 2
ου τὰς ἐκβολὰς ἄλλοι ὀγδοήκοντα καὶ ἑκατόν. ἐς δὲ
Λίλλιον ἐμπόριον ἀπὸ τοῦ Ὑπίου στάδιοι ἑκατόν, καὶ 14 H.
ἀπὸ τοῦ Λιλλίου ἐς Ἐλαῖον ἑξήκοντα. ἐνθένδε ἐς Κά-
λητα, ἄλλο ἐμπόριον, εἴκοσι καὶ ἑκατόν. ἀπὸ Κάλητος 3
ἐς Λύκον ποταμὸν ὀγδοήκοντα, ἀπὸ δὲ Λύκου ἐς Ἡρά-
κλειαν πόλιν Ἑλληνίδα Δωρικήν, Μεγαρέων ἄποικον,
στάδιοι εἴκοσιν. ἐν Ἡρακλείᾳ ὅρμος ναυσίν. ἀπὸ δὲ[19]
Ἡρακλείας ἐπὶ μὲν τὸ Μητρῷον καλούμενον στάδιοι
ὀγδοήκοντα. ἐνθένδε ἐς τὸ Ποσείδειον τεσσαράκοντα, 4
καὶ ἔνθεν ἐς Τυνδαρίδας πέντε καὶ τεσσαράκοντα, πέντε
δὲ καὶ δέκα ἐνθένδε ἐπὶ τὸ Νυμφαῖον. καὶ ἀπὸ τοῦ
Νυμφαίου ἐπὶ τὸν Ὀξίναν ποταμὸν τριάκοντα. καὶ
ἀπὸ Ὀξίνα ἐς Σανδαράκην ἐνενήκοντα. Σανδαράκη ὅρ-
μος ναυσὶ σμικραῖς. ἐνθένδε ἐς Κρηνίδας ἑξήκοντα. 5
καὶ ἀπὸ Κρηνίδων ἐς Ψύλλαν ἐμπόριον τριάκοντα. ἐν-
θένδε ἐς Τίον, πόλιν Ἑλληνίδα Ἰωνικήν, ἐπὶ θαλάσσῃ
οἰκουμένην, Μιλησίων καὶ ταύτην ἄποικον, ἐνενήκοντα.
ἀπὸ δὲ Τίου ἐς Βιλλαῖον ποταμὸν στάδιοι εἴκοσιν. ἀπὸ
δὲ Βιλλαίου ἐπὶ τὸν Παρθένιον ποταμὸν στάδιοι ἑκατόν.
μέχρι τοῦδε Θρᾷκες οἱ Βιθυνοὶ νέμονται, ὧν καὶ Ξενο- 6
φῶν ἐν τῇ συγγραφῇ μνήμην ἐποιήσατο ὅτι μαχιμώ-
τατοι εἶεν τῶν κατὰ τὴν Ἀσίαν, καὶ τὰ πολλὰ κακὰ ἡ
στρατιὰ τῶν Ἑλλήνων ὅτι ἐν τῇδε τῇ χώρᾳ ἔπαθεν,

ἐπειδὴ ἀπεχωρίσθησαν οἱ Ἀρκάδες ἀπό τε τῆς Χειρισό-
15 H. φου καὶ τῆς Ξενοφῶντος μερίδος.

14 τὰ δὲ ἀπὸ τοῦδε ἤδη Παφλαγονία. ἀπὸ Παρθενίου
(20) ἐς Ἄμαστριν πόλιν Ἑλληνίδα στάδιοι ἐνενήκοντα· ὅρ-
μος ναυσίν. ἐνθένδε ἐς Ἐρυθίνους ἑξήκοντα. καὶ ἀπὸ
2 Ἐρυθίνων ἐς Κρῶμναν ἄλλοι ἑξήκοντα. ἐνθένδε ἐς
Κύτωρον ἐνενήκοντα. ὅρμος ναυσὶν ἐν Κυτώρῳ. καὶ
ἀπὸ Κυτώρου ἐς Αἰγιαλοὺς ἑξήκοντα. ἐς δὲ Θύμηνα
3 ἐνενήκοντα. καὶ ἐς Κάραμβιν εἴκοσι καὶ ἑκατόν. ἐν-
θένδε ἐς Ζεφύριον ἑξήκοντα. ἀπὸ δὲ Ζεφυρίου ἐς
Ἀβώνου τεῖχος, πόλιν σμικράν, πεντήκοντα καὶ ἑκατόν·
ὅρμος ναυσὶν οὐκ ἀσφαλής, σαλεύοιεν δ' ἂν ἀπαθεῖς,
εἰ μὴ μέγας χειμὼν κατάσχοι. ἀπὸ δὲ Ἀβώνου τείχους ἐς
(21) Αἰγινήτην ἄλλοι πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε ἐς
Κίνωλιν ἐμπόριον ἄλλοι ἑξήκοντα. καὶ ἐν Κινώλι σα-
4 λεύοιεν ἂν νῆες ὥρᾳ ἔτους. ἀπὸ δὲ Κινώλιος ἐς Στε-
φάνην ὀγδοήκοντα καὶ ἑκατόν· ὅρμος ναυσὶν ἀσφαλής.
ἀπὸ δὲ Στεφάνης ἐς Ποταμοὺς πεντήκοντα καὶ ἑκατόν.
ἐνθένδε ἐς Λεπτὴν ἄκραν ἑκατὸν καὶ εἴκοσιν. ἀπὸ δὲ
Λεπτῆς ἄκρας ἐς Ἁρμένην ἑξήκοντα· λιμὴν αὐτόθι. καὶ
5 Ξενοφῶν τῆς Ἁρμένης ἐμνημόνευσεν. καὶ ἔνθεν ἐς
Σινώπην στάδιοι τεσσαράκοντα· Σινωπῆς Μιλησίων
ἄποικοι. ἀπὸ δὲ Σινώπης ἐς Κάρουσαν πεντήκοντα καὶ
ἑκατόν· σάλος ναυσίν. ἐνθένδε ἐς Ζάγωρα ἄλλοι αὖ
16 H. πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε ἐς τὸν Ἅλυν ποτα-
μὸν τριακόσιοι.

15 οὗτος ὁ ποταμὸς πάλαι μὲν ὅρος ἦν τῆς Κροίσου βα-
(22) σιλείας καὶ τῆς Περσῶν, νῦν δὲ ὑπὸ τῇ Ῥωμαίων ἐπι-
κρατείᾳ ῥεῖ, οὐκ ἀπὸ μεσημβρίας, ὡς λέγει Ἡρόδοτος,
ἀλλ' ἀπὸ ἀνίσχοντος ἡλίου. καθ' ὅ τι δὲ ἐσβάλλει ἐς
τὸν Πόντον, ὁρίζει τὰ Σινωπέων καὶ Ἀμισηνῶν ἔργα.
2 ἀπὸ δὲ Ἅλυος ποταμοῦ ἐς Ναύσταθμον στάδιοι ἐνενή-

κοντα, ἵναπερ καὶ λίμνη ἐστίν. ἐνθένδε ἐς Κωνώπιον
ἄλλην λίμνην ἄλλοι αὖ πεντήκοντα. ἀπὸ δὲ Κωνωπίου
ἐς Εὐσήνην ἑκατὸν καὶ εἴκοσιν. ἐνθένδε ἐς Ἀμισὸν 3
ἑκατὸν καὶ ἑξήκοντα. Ἀμισός, πόλις Ἑλληνίς, Ἀθη-
ναίων ἄποικος, ἐπὶ θαλάσσῃ οἰκεῖται. ἀπὸ δὲ Ἀμισοῦ
ἐς Ἀγκῶνα λιμένα, ἵναπερ καὶ ὁ Ἶρις ἐσβάλλει ἐς τὸν
Πόντον, στάδιοι ἑξήκοντα καὶ ἑκατόν. ἀπὸ δὲ τοῦ Ἴριος
τῶν ἐκβολῶν ἐς Ἡράκλειον ἑξήκοντα καὶ τριακόσιοι·
ὅρμος ναυσίν. ἐνθένδε ἐπὶ τὸν Θερμώδοντα ποταμὸν
τεσσαράκοντα. οὗτος ὁ Θερμώδων ἐστίν, ἵναπερ αἱ
Ἀμαζόνες οἰκῆσαι λέγονται.

ἀπὸ δὲ Θερμώδοντος ἐς Βῆριν ποταμὸν στάδιοι ἐνε- 16
νήκοντα. ἐνθένδε ἐς Θόαριν ποταμὸν ἑξήκοντα. ἀπὸ (23
δὲ Θοάριος ἐς Οἰνόην τριάκοντα. ἀπὸ Οἰνόης ἐς Φιγα-
μοῦντα ποταμὸν τεσσαράκοντα. ἐνθένδε ἐς Φαδισάνην
φρούριον πεντήκοντα καὶ ἑκατόν. ἐνθένδε ἐς Πολε- 2
μώνιον πόλιν στάδιοι δέκα. ἀπὸ Πολεμωνίου ἐς ἄκραν 17
Ἰασόνιον καλουμένην στάδιοι τριάκοντα καὶ ἑκατόν. ἐν- H
θένδε ἐς Κιλίκων νῆσον πεντεκαίδεκα στάδιοι. ἀπὸ 3
δὲ Κιλίκων νήσου ἐς Βοῶνα πέντε καὶ ἑβδομήκοντα. ἐν
Βοῶνι ὅρμος ναυσίν. ἐνθένδε ἐς Κοτύωρα ἐνενήκοντα.
ταύτης ὡς πόλεως Ξενοφῶν ἐμνημόνευσεν, καὶ λέγει Σι-
νωπέων ἄποικον εἶναι· νῦν δὲ κώμη ἐστίν, καὶ οὐδὲ
αὐτὴ μεγάλη. ἀπὸ Κοτυώρων ἐς Μελάνθιον ποταμὸν
στάδιοι μάλιστα ἑξήκοντα. ἐνθένδε ἐς Φαρματηνὸν ἄλ- (24)
λον ποταμὸν πεντήκοντα καὶ ἑκατόν. καὶ ἔνθεν ἐς Φαρ-
νακίαν εἴκοσι καὶ ἑκατόν. αὕτη ἡ Φαρνακία πάλαι 4
Κερασοῦς ἐκαλεῖτο, Σινωπέων καὶ αὕτη ἄποικος. ἐν-
θένδε ἐς τὴν Ἀρητιάδα νῆσον τριάκοντα. καὶ ἔνθεν ἐς
Ζεφύριον εἴκοσι καὶ ἑκατόν· ὅρμος ναυσίν. ἀπὸ δὲ Ζε-
φυρίου ἐς Τρίπολιν στάδιοι ἐνενήκοντα. ἐνθένδε ἐς τὰ
Ἀργύρια στάδιοι εἴκοσιν. ἐκ δὲ τῶν Ἀργυρίων ἐς 5

Φιλοκάλειαν ἐνενήκοντα. ἐνθένδε ἐς Κόραλλα ἑκατόν.
ἀπὸ δὲ Κοράλλων ἐς Ἱερὸν ὄρος πεντήκοντα καὶ ἑκα-
τόν. ἀπὸ δὲ Ἱεροῦ ὄρους ἐς Κορδύλην τεσσαράκοντα·
6 ὅρμος ναυσίν. ἀπὸ δὲ Κορδύλης ἐς Ἑρμώνασσαν πέντε
καὶ τεσσαράκοντα. καὶ δεῦρο ὅρμος. ἀπὸ δὲ Ἑρμωνάσ-
σης ἐς Τραπεζοῦντα στάδιοι ἑξήκοντα. ἐνταῦθα σὺ
18 ποιεῖς λιμένα· πάλαι γάρ, ὅσον ἀποσαλεύειν ὥρᾳ ἔτους,
H ὅρμος ἦν.

17 τὰ δὲ ἀπὸ Τραπεζοῦντος διαστήματα μέχρι Διοσκου-
(25) ριάδος προείρηται διὰ τῶν ποταμῶν ἀναμετρηθέντα.
ἀθροίζονται δὲ ἀπὸ Τραπεζοῦντος ἐς Διοσκουριάδα,
τὴν νῦν Σεβαστόπολιν καλουμένην, στάδιοι δισχίλιοι
2 διακόσιοι ἑξήκοντα. τάδε μὲν τὰ ἀπὸ Βυζαντίου πλεόν-
(26) των ἐν δεξιᾷ ὡς ἐπὶ Διοσκουριάδα, ἐς ὅπερ στρατόπε-
δον τελευτᾷ Ῥωμαίοις ἡ ἐπικράτεια ἐν δεξιᾷ ἐσπλεόντων
3 ἐς τὸν Πόντον. ἐπεὶ δὲ ἐπυθόμην Κότυν τετελευτη-
κέναι, τὸν βασιλέα τοῦ Βοσπόρου τοῦ Κιμμερίου καλου-
μένου, ἐπιμελὲς ἐποιησάμην καὶ τὸν μέχρι τοῦ Βοσπό-
ρου πλοῦν δηλῶσαί σοι, ὡς, εἴ τι βουλεύοιο περὶ τοῦ
Βοσπόρου, ὑπάρχει σοι καὶ τόνδε τὸν πλοῦν μὴ ἀγνο-
οῦντι βουλεύεσθαι.

18 ὁρμηθεῖσιν οὖν ἐκ Διοσκουριάδος πρῶτος ἂν εἴη
(27) ὅρμος ἐν Πιτυοῦντι· στάδιοι τριακόσιοι πεντήκοντα. ἐν-
θένδε ἐς τὴν Νιτικὴν στάδιοι πεντήκοντα καὶ ἑκατόν,
ἵναπερ πάλαι ᾤκει ἔθνος Σκυθικόν, οὗ μνήμην ποιεῖ-
2 ται ὁ λογοποιὸς Ἡρόδοτος. καὶ λέγει τούτους εἶναι
τοὺς φθειροτρωκτέοντας, καὶ ἐς τοῦτο ἔτι ἡ δόξα ἡ
αὐτὴ ὑπὲρ αὐτῶν κατέχει. ἐκ δὲ Νιτικῆς ἐς Ἄβασκον
ποταμὸν στάδιοι ἐνενήκοντα. ὁ δὲ Βόργυς τοῦ Ἀβάσκου
διέχει σταδίους ἑκατὸν καὶ εἴκοσιν, καὶ ὁ Νῆσις τοῦ
Βόργυος, ἵναπερ καὶ Ἡράκλεια ἄκρα ἀνέχει, σταδίους
3 19 H ἑξήκοντα. ἀπὸ δὲ Νήσιος ἐς Μασαϊτικὴν στάδιοι ἐνε-

*νήκοντα. ἐνθένδε ἐς Ἀχαιοῦντα στάδιοι ἑξήκοντα, ὅσ-
περ ποταμὸς διορίζει Ζιλχοὺς καὶ Σανίγας. Ζιλχῶν βα-
σιλεὺς Σταχέμφαξ· καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν
ἔσχεν. ἀπὸ Ἀχαιοῦντος ἐς Ἡράκλειαν ἄκραν πεντή-* (28)
*κοντα καὶ ἑκατὸν στάδιοι. ἐνθένδε ἐς ἄκραν, ἵναπερ
σκέπη ἐστὶν ἀνέμου θρασκίου καὶ βορρᾶ, ὀγδοήκοντα
καὶ ἑκατόν. ἐνθένδε ἐς τὴν καλουμένην Παλαιὰν Λα-* 4
*ζικὴν εἴκοσι καὶ ἑκατὸν στάδιοι. ἐνθένδε ἐς τὴν Πα-
λαιὰν Ἀχαΐαν πεντήκοντα καὶ ἑκατόν, καὶ ἔνθεν ἐς
Πάγρας λιμένα πεντήκοντα καὶ τριακόσιοι. ἀπὸ δὲ Πα-
γρῶν λιμένος ἐς Ἱερὸν λιμένα ὀγδοήκοντα καὶ ἑκατόν.
ἐνθένδε ἐς Σινδικὴν τριακόσιοι.*

ἀπὸ δὲ Σινδικῆς ἐς Βόσπορον τὸν Κιμμέριον κα- 19
λούμενον καὶ πόλιν τοῦ Βοσπόρου Παντικάπαιον τεσ- (29)
*σαράκοντα καὶ πεντακόσιοι. ἐνθένδε ἐπὶ Τάναϊν ποτα-
μὸν ἑξήκοντα, ὃς λέγεται ὁρίζειν ἀπὸ τῆς Ἀσίας τὴν
Εὐρώπην. καὶ ὁρμᾶται μὲν ἀπὸ λίμνης τῆς Μαιώτιδος,
ἐσβάλλει δὲ ἐς θάλασσαν τὴν τοῦ Εὐξείνου Πόντου.
καίτοι Αἰσχύλος ἐν Προμηθεῖ Λυομένῳ τὸν Φᾶσιν ὅρον* 2
*τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ποιεῖ. λέγουσι γοῦν αὐτῷ
οἱ Τιτᾶνες πρὸς τὸν Προμηθέα ὅτι*

> *'ἥκομεν . . . .*
> *τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ,*
> *δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι.'*

ἔπειτα καταλέγουσιν ὅσην χώραν ἐπῆλθον· 20

> *'τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης* H
> *μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν.'*

τῆς δὲ λίμνης τῆς Μαιώτιδος περίπλους ἐν κύκλῳ λέ- 3
γεται σταδίων ἀμφὶ τοὺς ἐνακισχιλίους. ἀπὸ δὲ Παντι- (30)
*καπαίου ἐς κώμην Καζέκα ἐπὶ θαλάσσῃ ᾠκισμένην στά-
διοι εἴκοσι καὶ τετρακόσιοι. ἐνθένδε ἐς Θευδοσίαν πό-
λιν ἐρήμην στάδιοι ὀγδοήκοντα καὶ διακόσιοι. καὶ ἐ*

*αὕτη παλαιὰ ἦν Ἑλλὰς πόλις Ἰωνική, Μιλησίων ἄποι-
κος, καὶ μνήμη ἐστὶν αὐτῆς ἐν πολλοῖς γράμμασιν. ἐν-
θένδε ἐς λιμένα Σκυθοταύρων ἔρημον στάδιοι διακό-
σιοι· καὶ ἔνθεν ἐς Λαμπάδα τῆς Ταυρικῆς στάδιοι ἑξα-
κόσιοι. ἀπὸ δὲ Λαμπάδος ἐς Συμβόλου λιμένα, Ταυ-
ρικὸν καὶ τοῦτον, στάδιοι εἴκοσι καὶ πεντακόσιοι. καὶ
ἔνθεν ἐς Χερρόνησον τῆς Ταυρικῆς ὀγδοήκοντα καὶ ἑκα-
τόν. ἀπὸ δὲ Χερρονήσου ἐς Καρκινῖτιν στάδιοι ἑξακό-
σιοι, καὶ ἀπὸ Καρκινίτιδος ἐς Καλὸν λιμένα, Σκυθικὸν
καὶ τοῦτον, ἄλλοι ἑπτακόσιοι.*

20 *ἐκ δὲ Καλοῦ λιμένος ἐς Ταμυράκην τριακόσιοι· ἔσω
(31) δὲ τῆς Ταμυράκης λίμνη ἐστὶν οὐ μεγάλη. καὶ ἔνθεν ἐς
τὰς ἐκροὰς τῆς λίμνης ἄλλοι τριακόσιοι. ἐκ δὲ τῶν
ἐκροῶν τῆς λίμνης ἐς Ἠϊόνας στάδιοι ὀγδοήκοντα καὶ
τριακόσιοι. καὶ ἔνθεν ἐς ποταμὸν Βορυσθένην πεντή-
2 κοντα καὶ ἑκατόν. κατὰ δὲ τὸν Βορυσθένην ἄνω πλέοντι
πόλις Ἑλλὰς ὄνομα Ὀλβία πεπόλισται. ἀπὸ δὲ Βορυ-
21 H σθένους ἐπὶ νῆσον σμικράν, ἐρήμην καὶ ἀνώνυμον,
στάδιοι ἑξήκοντα. καὶ ἔνθεν ἐς Ὀδησσὸν ὀγδοήκοντα.
ἐν Ὀδησσῷ ὅρμος ναυσίν. ἀπὸ δὲ Ὀδησσοῦ ἔχεται Ἰστρια-
νῶν λιμήν. στάδιοι ἐς αὐτὸν πεντήκοντα καὶ διακόσιοι.
3 ἐνθένδε ἔχεται Ἰσιακῶν λιμήν. στάδιοι ἐς αὐτὸν πεν-
τήκοντα. καὶ ἔνθεν ἐς τὸ Ψιλὸν καλούμενον στόμα τοῦ
Ἴστρου διακόσιοι καὶ χίλιοι. τὰ δὲ ἐν μέσῳ ἔρημα καὶ
ἀνώνυμα.*

21 *κατὰ τοῦτο μάλιστα τὸ στόμα ἐπ' εὐθὺ πλέοντι ἀνέ-
(32) μῳ ἀπαρκτίᾳ ἰδίως τὸ πέλαγος νῆσος πρόκειται, ἥντινα
οἱ μὲν Ἀχιλλέως νῆσον, οἱ δὲ Δρόμον Ἀχιλλέως, οἱ δὲ
Λευκὴν ἐπὶ τῆς χρόας ὀνομάζουσιν. ταύτην λέγεται Θέ-
τις ἀνεῖναι τῷ παιδί, καὶ ταύτην οἰκεῖν τὸν Ἀχιλλέα.
καὶ νεώς ἐστιν ἐν αὐτῇ τοῦ Ἀχιλλέως, καὶ ξόανον τῆς
2 παλαιᾶς ἐργασίας. ἡ δὲ νῆσος ἀνθρώπων μὲν ἐρήμη*

ἐστίν, νέμεται δὲ αἶξιν οὐ πολλαῖς. καὶ ταύτας ἀνατι-
θέναι λέγονται τῷ Ἀχιλλεῖ ὅσοι προσίσχουσι. καὶ ἄλλα
πολλὰ ἀναθήματα ἀνάκειται ἐν τῷ νεῷ, φιάλαι καὶ δα-
κτύλιοι καὶ λίθοι τῶν πολυτελεστέρων, καὶ ἐπιγράμματα,
τὰ μὲν Ῥωμαϊκῶς τὰ δὲ Ἑλληνικῶς πεποιημένα ἐν ἄλλῳ
καὶ ἄλλῳ μέτρῳ, ἔπαινοι τοῦ Ἀχιλλέως. ἔστιν δὲ ἃ καὶ 3
τοῦ Πατρόκλου· καὶ γὰρ καὶ τὸν Πάτροκλον τιμῶσιν
σὺν τῷ Ἀχιλλεῖ ὅσοι τῷ Ἀχιλλεῖ χαρίζεσθαι ἐθέλουσιν. 22 H
ὄρνιθες δὲ πολλοὶ αὐλίζονται ἐν τῇ νήσῳ, λάροι καὶ αἴ-
θυιαι καὶ κορῶναι αἱ θαλάσσιαι τὸ πλῆθος οὐ σταθμη-
τοί. οὗτοι οἱ ὄρνιθες θεραπεύουσιν τοῦ Ἀχιλλέως τὸν 4
νεών. ἕωθεν ὁσημέραι καταπέτονται ἐς τὴν θάλασσαν·
ἔπειτα ἀπὸ τῆς θαλάσσης βεβρεγμένοι τὰ πτερὰ σπουδῇ
αὖ ἐσπέτονται ἐς τὸν νεών, καὶ ῥαίνουσιν τὸν νεών.
ἐπειδὰν δὲ καλῶς ἔχῃ, οἱ δὲ ἐκκαλλύνουσιν αὖ τὸ ἔδα-
φος τοῖς πτεροῖς.

οἱ δὲ καὶ τάδε ἱστοροῦσιν. τῶν προσεσχηκότων τῇ 22
νήσῳ ἱερεῖα τοὺς μὲν ἐξεπίτηδες πλέοντας ἐς αὐτὴν ἐπὶ (33)
ταῖς ναυσὶν κομίζειν, καὶ τούτων τὰ μὲν καταθύειν τὰ
δὲ ἀφιέναι τῷ Ἀχιλλεῖ· τοὺς δέ τινας ὑπὸ χειμῶνος 2
ἐξαναγκασθέντας προσέχειν, καὶ τούτους παρ' αὐτοῦ
τοῦ θεοῦ αἰτεῖν ἱερεῖον, χρωμένους περὶ τῶν ἱερείων, εἰ
λῷόν σφισιν καὶ ἄμεινον θῦσαι ὅτι περ ἂν αὐτοὶ τῇ
γνώμῃ ἐπιλέξαιντο νεμόμενον, τιμὴν ἅμα καταβάλλον-
τες τὴν ἀξίαν σφίσιν δοκοῦσαν. εἰ δὲ ἀπαγορεύοι ὁ 3
χρησμός — εἶναι γὰρ χρησμοὺς ἐν τῷ νεῷ —, προσβάλ-
λειν τῇ τιμῇ· εἰ δὲ ἔτι ἀπαγορεύοι, ἔτι προσβάλλειν.
συγχωρήσαντος δὲ γιγνώσκειν ὅτι ἀποχρῶσα ἡ τιμή
ἐστιν. τὸ δὲ ἱερεῖον ἵστασθαι ἐπὶ τῷδε αὐτόματον, μηδὲ 4
ἀποφεύγειν ἔτι. καὶ τοῦτο δὴ πολὺ ἀνακεῖσθαι τὸ ἀργύ-
ριον τῷ ἥρῳ τὰς τιμὰς τῶν ἱερείων.

23 φαίνεσθαι δὲ ἐνύπνιον τὸν Ἀχιλλέα τοῖς μὲν προσ-
(34) 23 σχοῦσι τῇ νήσῳ, τοῖς δὲ καὶ πλέουσιν, ἐπειδὰν οὐ
H πόρρω αὐτῆς ἀπόσχωσιν, καὶ φράζειν ὅποι προσσχεῖν
τῆς νήσου ἄμεινον καὶ ὅποι ὁρμίσασθαι. οἳ δὲ καὶ ὕπαρ
λέγουσιν φανῆναί σφισιν ἐπὶ τοῦ ἱστοῦ ἢ ἐπ' ἄκρου τοῦ
2 κέρως τὸν Ἀχιλλέα, καθάπερ τοὺς Διοσκόρους· το-
σόνδε μόνον τῶν Διοσκόρων μεῖον ἔχειν τὸν Ἀχιλλέα,
ὅσον οἱ μὲν Διόσκοροι τοῖς πανταχοῦ πλωϊζομένοις
ἐναργεῖς φαίνονται καὶ φανέντες σωτῆρες γίγνονται, ὁ
δὲ τοῖς πελάζουσιν ἤδη τῇ νήσῳ. οἳ δὲ καὶ τὸν Πάτρο-
3 κλόν σφισιν ὀφθῆναι ἐνύπνιον λέγουσιν. τάδε μὲν
ὑπὲρ τῆς νήσου τῆς τοῦ Ἀχιλλέως ἀκοὴν ἀνέγραψα τῶν
ἢ αὐτῶν προσσχόντων ἢ ἄλλων πεπυσμένων· καί μοι
4 δοκεῖ οὐκ ἄπιστα εἶναι. Ἀχιλλέα γὰρ ἐγὼ πείθομαι εἴ-
περ τινὰ καὶ ἄλλον ἥρω εἶναι, τῇ τε εὐγενείᾳ τεκμαι-
ρόμενος καὶ τῷ κάλλει καὶ τῇ ῥώμῃ τῆς ψυχῆς καὶ τῷ
νέον μεταλλάξαι ἐξ ἀνθρώπων καὶ τῇ Ὁμήρου ἐπ' αὐτῷ
ποιήσει καὶ τῷ ἐρωτικὸν γενέσθαι καὶ φιλέταιρον, ὡς
καὶ ἐπαποθανεῖν ἑλέσθαι τοῖς παιδικοῖς.

24 ἀπὸ δὲ τοῦ Ψιλοῦ καλουμένου στόματος τοῦ Ἴστρου
(35) ἐς τὸ δεύτερον στόμα στάδιοι ἑξήκοντα. ἐνθένδε ἐπὶ τὸ
Καλὸν καλούμενον στόμα στάδιοι τεσσαράκοντα. καὶ
ἀπὸ τοῦ Καλοῦ ἐπὶ τὸ Νάρακον ὧδε ὀνομαζόμενον στόμα
2 τέταρτον τοῦ Ἴστρου στάδιοι ἑξήκοντα. ἐνθένδε ἐπὶ
τὸ πέμπτον εἴκοσι καὶ ἑκατόν, καὶ ἔνθεν ἐς Ἰστρίαν
24 H πόλιν στάδιοι πεντακόσιοι. ἐνθένδε ἐς Τομέα πόλιν
3 στάδιοι τριακόσιοι. ἀπὸ δὲ Τομέως ἐς Κάλλατιν πό-
λιν ἄλλοι τριακόσιοι· ὅρμος ναυσίν. ἐνθένδε ἐς Κα-
ρῶν λιμένα ὀγδοήκοντα καὶ ἑκατόν· καὶ ἡ γῆ ἐν κύ-
κλῳ τοῦ λιμένος Καρία κλῄζεται. ἀπὸ δὲ Καρῶν λιμέ-
νος ἐς Τετρισιάδα στάδιοι εἴκοσι καὶ ἑκατόν. ἐνθένδε ἐς
4 Βιζώνην χῶρον ἔρημον στάδιοι ἑξήκοντα. ἀπὸ δὲ Βι-

ζώνης ἐς Διονυσόπολιν στάδιοι ὀγδοήκοντα. ἐνθένδε ἐς
Ὀδησσὸν διακόσιοι· ὅρμος ναυσίν. ἐκ δὲ Ὀδησσοῦ ἐς τοῦ (36)
Αἵμου τὰς ὑπωρείας, αἳ δὴ ἐς τὸν Πόντον καθήκουσιν,
στάδιοι τριακόσιοι ἑξήκοντα. καὶ δεῦρο ὅρμος ναυσίν.
ἐκ δὲ τοῦ Αἵμου ἐς Μεσημβρίαν πόλιν ἐνενήκοντα· 5
ὅρμος ναυσίν. καὶ ἐκ Μεσημβρίας ἐς Ἀγχίαλον πόλιν
στάδιοι ἑβδομήκοντα, καὶ ἐξ Ἀγχιάλου ἐς Ἀπολλωνίαν
ὀγδοήκοντα καὶ ἑκατόν. αὗται πᾶσαι αἱ πόλεις Ἑλ- 6
ληνίδες εἰσίν, ᾠκισμέναι ἐν τῇ Σκυθίᾳ, ἐν ἀριστερᾷ
ἐσπλέοντι ἐς τὸν Πόντον. ἐκ δὲ Ἀπολλωνίας ἐς Χερρό-
νησον στάδιοι ἑξήκοντα· ὅρμος ναυσίν. καὶ ἐκ Χερρο-
νήσου ἐς Αὐλαίου τεῖχος πεντήκοντα καὶ διακόσιοι. ἐν-
θένδε ἐς Θυνιάδα ἀκτὴν εἴκοσι καὶ ἑκατόν.

ἀπὸ δὲ Θυνιάδος ἐς Σαλμυδησσὸν στάδιοι διακόσιοι. 25
τούτου τοῦ χωρίου μνήμην πεποίηται Ξενοφῶν ὁ πρεσβύ- (37)
τερος, καὶ μέχρι τούτου λέγει τὴν στρατιὰν ἐλθεῖν τῶν 25 H
Ἑλλήνων, ἧς αὐτὸς ἡγήσατο, ὅτε τὰ τελευταῖα σὺν Σεύθῃ
τῷ Θρᾳκὶ ἐστράτευσεν. καὶ περὶ τῆς ἀλιμενότητος τοῦ 2
χωρίου πολλὰ ἀνέγραψεν, ὅτι ἐνταῦθα ἐκπίπτει τὰ πλοῖα
χειμῶνι βιαζόμενα, καὶ οἱ Θρᾷκες οἱ πρόσχωροι ὅτι ὑπὲρ
τῶν ναυαγίων ἐν σφίσιν διαμάχονται. ἀπὸ δὲ Σαλμυ- 3
δησσοῦ ἐς Φρυγίαν στάδιοι τριάκοντα καὶ τριακόσιοι.
ἐνθένδε ἐπὶ Κυανέας εἴκοσι καὶ τριακόσιοι. αὗται δὲ αἱ
Κυάνεαί εἰσιν, ἃς λέγουσιν οἱ ποιηταὶ πλαγκτὰς πάλαι
εἶναι, καὶ διὰ τούτων πρώτην ναῦν περᾶσαι τὴν Ἀργώ,
ἥτις ἐς Κόλχους Ἰάσονα ἤγαγεν. ἐκ δὲ Κυανέων ἐπὶ τὸ 4
Ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου, ἵναπερ τὸ στόμα τοῦ Πόν-
του, στάδιοι τεσσαράκοντα. ἐνθένδε ἐς λιμένα Δάφνης
τῆς Μαινομένης καλουμένης στάδιοι τεσσαράκοντα. ἀπὸ
δὲ Δάφνης ἐς Βυζάντιον ὀγδοήκοντα. τάδε μὲν καὶ τὰ
ἀπὸ τοῦ Βοσπόρου τοῦ Κιμμερίου ἐπὶ Βόσπορον τὸν
Θρᾴκιον καὶ πόλιν Βυζάντιον.

ΑΡΡΙΑΝΟΥ ΤΕΧΝΗ ΤΑΚΤΙΚΗ

. . . ὁ Πύρρου παῖς καὶ Κλέαρχος, οὐχ ὁ τῶν μυ-
ρίων Ἑλλήνων ἐπὶ βασιλέα ἡγησάμενος, ἀλλ' ἄλλος
4 Blancard. οὗτος Κλέαρχος. καὶ μὴν καὶ Παυσανίου ἐστὶ συγ-
γράμματα ὑπὲρ τούτων, εὕροις δ' ἂν καὶ Εὐαγγέλου
ἄττα καὶ Πολυβίου τοῦ Ἀρκάδος, ὃς καὶ Σκηπίωνι τῷ
Ῥωμαίῳ συνεγένετο, πολλοὺς καὶ μεγάλους πολέμους
διαπολεμοῦντι ἄλλους τε καὶ ἐν ᾧ Καρχηδόνα τὴν ἐν
5 Bl. Λιβύῃ εἷλέν τε καὶ ἠνδραπόδισεν. συγγέγραπται δὲ
ἄττα ὑπὲρ τούτων καὶ Εὐπολέμῳ καὶ Ἰφικράτει, οὐ τῷ
Ἀθηναίων στρατηγῷ, ἀλλ' ἄλλῳ τούτῳ. Ποσειδώνιος
δὲ ὁ Ῥόδιος καὶ τέχνην τινὰ τακτικὴν συγγράψας κατέ-
2 λιπεν. ἔστι δὲ σύμπαντα ταῦτα τὰ συγγράμματα ἐκείνῃ
μάλιστα οὐκ ὠφέλιμα, ὅτι ὡς πρὸς εἰδότας συγγέγρα-
πται. καὶ τοίνυν τὰ ὀνόματα τῆς τε ὁπλίσεως ἑκάστης καὶ
τῆς τάξεως οἱ μὲν ὡς γνώριμα ἀνέγραψαν, τὰ δέ ἐστιν
3 εἰ μὴ ἐξηγήσαιο πάντῃ ἄγνωστα. τοῦτο δὲ αὐτὸ ἔδοξέ
(c. 2 Borbeck) μοι πρῶτον ἰάσασθαι αὐτῶν τὴν ἀσάφειαν.

2 ὡς οὖν εὐγνωστότατα ἔσται τοῖς ἐντυγχάνουσι τά
τε πράγματα καὶ τὰ ὀνόματα, ἐνθένδε τοῦ λόγου ἄρξο-
μαι, ὅτι δὴ τῶν παρασκευῶν τῶν ἐς τὸν πόλεμον ἣ
μέν τις κατὰ γῆν τυγχάνει οὖσα, ἣ δὲ διὰ θαλάσσης·
καὶ γὰρ οἱ πολέμιοι πολεμοῦνται οἱ μὲν ἐν γῇ, οἱ δ' ἐν
6 Bl. θαλάσσῃ. τῶν δὲ ὅπως οὖν πολεμούντων τὸ μέν τί
(3) ἐστι μάχιμον, αὐτοὶ οἱ στρατιῶται, τὸ δὲ τοῦ μαχίμου
ἕνεκα ἠθροισμένον, ὅσον θητικὸν ἢ ἰατρικὸν ἢ ἐμπο-
2 ρικὸν ἢ καπηλικόν. τοῦ δὲ αὖ ἐν γῇ μαχίμου τὸ μέν ἐστι (105)

πεζικόν, τὸ δ' ἐπ' ὀχήματος ἄλλου καὶ ἄλλου. καὶ τῆς δευ-
τέρας ἰδέας τὸ μὲν ἱππικόν, ὅπερ ἵπποις χρῆται, τὸ δ'
ἐπὶ ἐλεφάντων, καθάπερ τὰ Ἰνδῶν στρατόπεδα καὶ τὰ 7 Bl.
Αἰθιοπικά, χρόνῳ δ' ὕστερον καὶ Μακεδόνες καὶ Καρχη- 8 Bl.
δόνιοι καί πού καὶ Ῥωμαῖοι. τοῦ δὲ ἀφ' ἵππων μαχητι- 3
κοῦ τὸ μὲν ἰδίᾳ λεχθείη ἂν ἱππικόν, τὸ δὲ ἀφ' ἁρμάτων **.
καὶ τοῦ ἱππικοῦ οἳ μὲν ἱππῆς, οἳ δὲ ἄμφιπποι· ἱππῆς μὲν
οἱ ἐφ' ἑνὸς ἵππου ὀχούμενοι, ἄμφιπποι δὲ οἱ ἐπὶ δυοῖν
ἀστρώτοιν συνδεδεμένοιν, ὡς μεταπηδᾶν ἀπ' ἄλλου ἐς
ἄλλον. ἡ μὲν δὴ ἀπὸ τῶν ἐλεφάντων μάχη ἁπλῆ ἐστιν, 9 Bl.
πλήν γε δὴ ὅτι πύργους ἔφερον ἔστιν ὅτε οἱ ἐλέφαντες· 4
τῶν δὲ καὶ οἱ ὀδόντες σιδήρῳ ὀξεῖ ὡπλισμένοι ἦσαν,
τοῦ τε τομώτεροι εἶναι καὶ τοῦ μὴ ἀποθραύεσθαι εὐπε-
τῶς. ἡ δὲ ἀπὸ τῶν ἁρμάτων μάχη πολυειδεστέρα ταύ- 5
της· ἢ γὰρ ψιλὰ ἦν τὰ ἅρματα, καθάπερ τὰ Τρωϊκά,
ἢ δρεπανηφόρα, ὡς ὕστερον τὰ Περσικά, καὶ ἢ πεφραγ- 10 Bl.
μένων τῶν ἵππων ἢ ἀφράκτων, καὶ ἢ ἁπλοῦ τοῦ ῥυμοῦ
ἢ διπλοῦ, τὰ δὲ καὶ πολύρρυμα.

αἱ δὲ πεζικαί τε καὶ ἱππικαὶ τάξεις καὶ ὁπλίσεις 3
πολυειδεῖς τε καὶ πολύτροποί εἰσιν. αὐτίκα τῶν πεζῶν
ἡ ὅπλισις, ὥς γε δὴ ἐς τὰ ἀνωτάτω τεμεῖν, τριχῇ νενέμη-
ται, ἔς τε τὸ ὁπλιτικὸν καὶ ἐς τὸ ψιλὸν καὶ ἐς τὸ πελ-
ταστικόν. τὸ μὲν δὴ βαρύτατον τὸ ὁπλιτικὸν θώρακας 2
ἔχει καὶ ἀσπίδας ἢ θυρεοὺς παραμήκεις καὶ μαχαίρας 11 Bl.
καὶ δόρατα, ὡς Ἕλληνες, ἢ σαρίσας, ὡς Μακεδόνες.
τὸ δὲ ψιλὸν ἐναντιώτατα ἔχει τῷ ὁπλιτικῷ πάντα, ὅτι- 3
περ ἄνευ θώρακος καὶ ἀσπίδος καὶ κνημῖδος καὶ κράνους
ἑκηβόλοις ἐστὶν ὅπλοις διαχρώμενον, τοξεύμασιν ἢ ἀκον- 12 Bl.
τίοις ἢ σφενδόναις ἢ λίθοις ἐκ χειρός. τὸ πελταστικὸν δὲ 4
κουφότερον μὲν τυγχάνει ὂν τοῦ ὁπλιτικοῦ — ἡ γὰρ πέλτη
σμικροτέρα τῆς ἀσπίδος καὶ ἐλαφροτέρα, καὶ τὰ ἀκόν-
106) τια τῶν δοράτων καὶ τῶν σαρισῶν λειπόμενα —, βαρύ-

5 τερον δὲ τοῦ ψιλοῦ. τῷ δὲ ἀκριβεῖ καὶ βαρεῖ ὁπλιτικῷ
καὶ κράνη πρόσκειται, ἢ πῖλοι Λακωνικοὶ ἢ Ἀρκαδικοί,
13 καὶ κνημῖδες, ὡς τοῖς πάλαι Ἕλλησιν, ἢ ὡς Ῥωμαίοις
Bl. κνημὶς μία πρὸ τῆς κνήμης τῆς ἐν ταῖς μάχαις προβαλ-
λομένης, καὶ θώρακες, οἳ μὲν φολιδωτοί, οἳ δὲ ἁλύσεσι
λεπταῖς σιδηραῖς ἐπηλλαγμένοι.

4 τῆς δ' ἱππικῆς ὁπλίσεως ἣ μὲν κατάφρακτος τυγ-
14 χάνει οὖσα, ἣ δὲ ἄφρακτος. καὶ κατάφρακτος μὲν ἡ τοὺς
Bl. ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρεχομένη, τοὺς
μὲν θώραξι φολιδωτοῖς ἢ λινοῖς ἢ ἐκ κεράτων καὶ παρα-
μηριδίοις, τοὺς ἵππους δὲ παραπλευριδίοις καὶ προμε-
2 τωπιδίοις· ἄφρακτος δὲ ἡ ἐναντία. τούτων δὲ οἳ μὲν
15 Bl. δορατοφόροι εἰσίν, οἳ δὲ ἀκροβολισταί. καὶ δο-
3 ρατοφόροι μὲν οἱ πελάζοντες ταῖς τάξεσι τῶν πολε-
μίων καὶ δόρασιν ἀπομαχόμενοι, ἀκροβολισταὶ δὲ οἱ
πόρρωθεν ἀκροβολισμοῖς διαχρώμενοι, καθάπερ Ἀρμέ-
4 νιοι καὶ Παρθυαίων ὅσοι μὴ κοντοφόροι. τῆς προτέ-
ρας δὲ ἰδέας οἳ μὲν θυρεοὺς φέρουσιν καὶ καλοῦνται
θυρεαφόροι, οἳ δὲ ἄνευ τούτων αὐτὸ μόνον δόρασι μά-
χονται, οἳ δὴ καὶ ἰδίᾳ δορατοφόροι ὀνομάζονται, ἔστιν
5 δὲ ὑφ' ὧν ξυστοφόροι. ἀκροβολισταὶ δὲ λεχθεῖεν ἂν
οἱ μὴ ἐς χεῖρας ἰόντες ἀλλὰ πόρρωθεν ἐξακοντίζοντες.
καὶ τούτων οἳ μὲν δορατίοις διαχρῶνται ἐς τὸν ἀκρο-
βολισμόν, οἳ δὲ τόξοις. οἱ μὲν δὴ δορατίοις ἀκροβολιζό-
μενοι Ταραντῖνοι ὀνομάζονται, οἱ δ' ἕτεροι ἱπποτο-
6 ξόται. αὐτῶν δὲ τῶν Ταραντίνων οἳ μὲν αὐτὸ μόνον
16 Bl. πόρρωθεν ἀφιστάμενοι ἢ ἐς κύκλους περιιππεύοντες
διαχρῶνται τῷ ἀκροβολισμῷ, οἳ δὴ καὶ εἰλικρινῶς Τα-
ραντῖνοί εἰσιν· οἳ δὲ τὰ μὲν πρῶτα ἐξακοντίζουσιν,
ἔπειτα συμπλέκονται τοῖς πολεμίοις, ἢ δόρυ ἓν ὧν ἔσχον
ὑπολειπόμενοι ἢ καὶ τῇ σπάθῃ διαχρώμενοι· καὶ οὗτοι κα-
7 λοῦνται ἐλαφροί. — Ῥωμαίοις δὲ οἱ ἱππῆς οἳ μὲν (107)

κοντοὺς φέρουσιν, καὶ ἐπελαύνουσιν ἐς τὸν τρόπον τὸν
Ἀλανικὸν καὶ τῶν Σαυροματῶν, οἳ δὲ λόγχας ἔχουσι.
σπάθη δὲ μακρὰ καὶ πλατεῖα ἀπήρτηται αὐτοῖς ἀπὸ τῶν 8
ὤμων, καὶ θυρεοὺς πλατεῖς παραμήκεις φέρουσιν καὶ 17 Bl.
κράνος σιδηροῦν καὶ θώρακα πεπλεγμένον καὶ κνημῖδας
σμικράς. λόγχας δὲ ἐς ἀμφότερα φέρουσι, καὶ ἀκοντίσαι 9
μακρόθεν, ὁπότε τούτου δέοι, καὶ ἐγγύθεν ἐκ χειρὸς
ἀπομάχεσθαι· συμπλακῆναι δὲ εἰ δεήσειεν ἐς χεῖρας
ἐλθόντας, ταῖς σπάθαις μάχονται. οἳ δὲ καὶ πελέκεις
σμικροὺς φέρουσι πάντοθεν ἐν κύκλῳ ἀκωκὰς ἔχοντας.

ἑκάστης δὲ τάξεως πεζικῆς τε καὶ ἱππικῆς συστή- 5
ματά τ' ἐστὶ καὶ ἡγεμόνες καὶ ἀριθμὸς καὶ ὀνό- (4)
ματα, ὑπὲρ ὧν ἤδη λεκτέον. πρῶτον μὲν δὴ καὶ μέ- 2
γιστον τῶν ἐν στρατηγίᾳ ἔργων παραλαβόντα πλῆθος
ἀνθρώπων ἀθρόον καὶ ἄτακτον ἐς τάξιν καὶ κόσμον
καταστῆσαι· τὸ δ' ἔστιν καταλοχίσαι τε καὶ συλ- 18 Bl.
λοχίσαι, ἀριθμόν τε ἐπιθεῖναι τῷ πλήθει παντὶ σύμ-
μετρον καὶ ἐπιτήδειον ἐς τὰς μάχας. τὸ γὰρ συντεταγ- 3
μένον στράτευμα ἔν τε τῇ πορείᾳ κουφότερον καὶ ἐν τῇ
στρατοπεδείᾳ ἀσφαλέστερον καὶ ἐς τὰς μάχας ὠφελιμώ-
τερον, ὥστε ἤδη καὶ μεγάλα στρατόπεδα καὶ εὐοπλοῦντα
δι' ἀταξίαν διαφθαρέντα ἴσμεν ὑπὸ ἐλάττονός τε στρα-
τιᾶς καὶ οὐκ ἀκριβῶς ὡπλισμένης, τὰ δὲ ἀσθενέστερα
καὶ οὐκ εὐοπλοῦντα κρατήσαντα περισσοῦ πλήθους τῇ
εὐταξίᾳ. τὸ μὲν δὴ καταλοχίσαι ἐστὶν ἐς λόχους συν- 4
τάξαι· ὁ δὲ λόχος ὀνομάζεται ἀριθμὸς ἀνδρῶν ἀπὸ (5)
τοῦ ἡγουμένου καὶ τῶν μετὰ τοῦτον τεταγμένων ἔστε
ἐπὶ τὸν τελευταῖον κατὰ τὸ βάθος, ὃς δὴ οὐραγὸς καλεῖ-
ται. ἀριθμὸν δὲ τοῦ λόχου οἳ μὲν ὀκτὼ ἀνδρῶν ἐποί- 5
ησαν, οἳ δὲ δέκα, οἳ δὲ δύο ἐπὶ τοῖς δέκα, οἳ δὲ καὶ ἑκ-
(108) *καίδεκα. κείσθω δὲ ἡμῖν τὸ βαθύτατον αὐτοῦ ἐς ἑκκαί-*
δεκα. σύμμετρον γὰρ τοῦτο πρός τε τὴν ἐπὶ μῆκος τάξιν

καὶ πρὸς τὴν ἐς βάθος τῆς φάλαγγος καὶ πρὸς τὸ ὑπερ-
20 Bl. τοξεύεσθαί τε καὶ ὑπερακοντίζεσθαι πρὸς τῶν ψιλῶν
6 τῶν ἐφεστηκότων. καὶ εἴτε διπλασιάσαι δεήσειεν τὸ
βάθος ἐπὶ τριάκοντα δύο ἄνδρας, ἡ τάξις σύμμετρος
ἔσται· εἴτε αὖ μηκῦναι τὸ μέτωπον ἐς ὀκτώ, ἔσται οὐ
πάντη ἀβαθὴς ἡ φάλαγξ. τὴν δὲ ἐς ὀκτὼ εἰ ἐκτεῖναι
ἐθελήσειας ἐπὶ τέσσαρας, ἀβαθὴς γίγνεται. χρὴ οὖν τὸν
λοχαγόν, ἅτε πρῶτον τοῦ λόχου τασσόμενον, τὸν
κράτιστον ἐπιλέγεσθαι· ὃ δὲ αὐτὸς καὶ πρωτοστάτης
καὶ ἡγεμὼν καλεῖται.

6 (6) τὸν δὲ λόχον καὶ στίχον ἤδη τινὲς ὀνομάζουσιν, οἱ
2 δὲ δεκανίαν, τυχὸν οἷς ἐκ δέκα ὁ λόχος ἦν. ὑπὲρ δὲ
τῆς ἐνωμοτίας ἀμφιγνοούμενόν ἐστιν· οἱ μὲν γὰρ ἄλλο
21 Bl. ὄνομα τῷ λόχῳ εἶναι τοῦτο, οἱ δὲ τὸ τέταρτον τοῦ λόχου
ἐνωμοτίαν καλοῦσιν, καὶ ἐνωμόταρχον τὸν τούτου
ἡγούμενον, τὰς δὲ δύο ἐνωμοτίας διμοιρίαν καὶ τὸν
3 ἡγούμενον τούτων διμοιρίτην. Ξενοφῶν δὲ πόστον
μὲν μέρος τοῦ λόχου ἡ ἐνωμοτία ἐστὶν οὐ διασαφεῖ· ὅτι
δὲ μεῖον πάντως γε τῷ ἡμίσει, δηλοῖ ἐν ᾧ λέγει ὅτι οἱ
λοχαγοὶ κατ' ἐνωμοτίας ἕκαστος ἐποιήσαντο τὸν αὑτοῦ
4 λόχον. ὁ μὲν δὴ τοῦ λοχαγοῦ κατόπιν ἑστὼς ἐπιστάτης
καλεῖται, ὁ δὲ αὖ κατόπιν τούτου πρωτοστάτης, ὁ δ'
ἐπὶ τούτῳ ἐπιστάτης, καὶ ἐφεξῆς ὡσαύτως, ὡς τὸν
πάντα τοῦ λόχου στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν
5 τετάχθαι παραλλὰξ ἱσταμένων. χρὴ δὲ μὴ μόνον τὸν
λοχαγὸν τὸν κράτιστον τοῦ λόχου εἶναι, ἀλλὰ καὶ τὸν
οὐραγὸν οὐ πολύ τι ἀποδέοντα ἐπιλέγεσθαι· πολλὰ γὰρ
καὶ τούτῳ καὶ οὐ τὰ φαυλότατα ἐν τοῖς πολεμικοῖς ἐπι-
6 τέτραπται. εἴη ἂν οὖν ὁ λόχος στίχος ἐξ ἐπιστατῶν καὶ
23 Bl. πρωτοστατῶν ἐν μέσῳ λοχαγοῦ τε καὶ οὐραγοῦ συντε-
ταγμένος.

7 (7) συλλοχισμὸς δ' ἐστὶ παράθεσις λόχου ἑτέρῳ λόχῳ.

γίγνεται δὲ εἰ τῷ τοῦ πρώτου στίχου λοχαγῷ ὁ τοῦ δευ-
τέρου λοχαγὸς ἐπισταθείη, τῷ δὲ τούτου ἐπιστάτῃ ὁ τοῦ
δευτέρου λοχαγοῦ ἐπιστάτης, καὶ ἐφεξῆς οὕτως. παρα- 2
στάτης δὲ πᾶς ὁ συζυγῶν ὀνομάζεται, λοχαγὸς μὲν ὁ
πρῶτος τῷ δευτέρῳ λοχαγῷ, ἐπιστάτης δὲ ὁ πρῶτος τῷ
δευτέρῳ ἐπιστάτῃ, καὶ τοῦτο ἐφεξῆς ἔστε ἐπὶ τοὺς οὐ-
ραγοὺς τῶν λόχων. ἐπειδὰν οὖν πολλοὶ ἐφεξῆς λόχοι
ταχθῶσι, συλλοχισμὸς τὸ τοιόνδε καλεῖται.

τὸ δὲ σύμπαν σύνταγμα τοῦ πλήθους φάλαγξ ὀνο- 8
μάζεται· ἧς μῆκος μὲν τὸ πρῶτον ἂν εἴη ἐκ τῶν λοχαγῶν (8)
σύνταγμα, ὅπερ καὶ μέτωπον ἤδη τινὲς ὀνομάζουσιν,
ἔστιν δὲ οἳ πρόσωπον καὶ ζυγόν, καὶ στόμα δὲ ἄλλοι 24 Bl.
ταὐτὸ τοῦτο, καὶ πρωτολοχίαν ἄλλοι. τὸ δὲ κατόπιν 2
τοῦ μετώπου ἅπαν ἔστε ἐπὶ τοὺς οὐραγούς, βάθος ὀνο-
μάζεται. καὶ τὸ μὲν κατὰ μῆκος ἐπ' εὐθείας εἶναι τοὺς 25 Bl.
πρωτοστάτας τοῖς πρωτοστάταις καὶ τοὺς ἐπιστάτας τοῖς (9)
ἐπιστάταις συζυγεῖν καλοῦσι, στοιχεῖν δὲ τὸ κατὰ
βάθος ἐπ' εὐθείας εἶναι τοὺς οὐραγοὺς καὶ λοχαγούς.
τέμνεται δὲ ἡ φάλαγξ ἐς μέρη τὰ μέγιστα δύο, δίχα διαι- 3
ρουμένου τοῦ παντὸς μετώπου ἔστε ἐπὶ τὸ πᾶν βάθος. (10)
καὶ τούτου τὸ μὲν ἥμισυ τὸ ἐν δεξιᾷ δεξιὸν καλεῖται
κέρας καὶ κεφαλή· τὸ δ' ἐν ἀριστερᾷ εὐώνυμον
κέρας καὶ οὐρά. ἵνα δὲ ἡ διχοτομία γίγνεται τοῦ μή- 4
κους, ὀμφαλὸς ὀνομάζεται καὶ στόμα καὶ ἀραρός. 26 Bl.

ἐπὶ δὲ τοῖς ὁπλίταις τὸ πολὺ οἱ ψιλοὶ τάσσονται, 9
ὡς τοῖς μὲν τὴν σκέπην ἐκ τῶν ὅπλων εἶναι, τοῖς δὲ (11)
ὁπλίταις αὖ τὴν ὠφέλειαν ἐκ τῶν κατόπιν ἀκοντισμά-
των. οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλῃ χώρᾳ ἤδη ψιλοὶ ἐτά- 2
χθησαν, ὁπότε τούτου δέοι, ἢ ἐπὶ κέρως ἑκατέρου, ἢ
εἰ πρόβλημα εἴη τοῦ ἑτέρου κέρως ποταμὸς ἢ τάφρος ἢ
θάλασσα, ἐπὶ τοῦ ἑτέρου μόνον ἐν ὑπερδεξίῳ χω-
ρίῳ τοῦ ἀποκρούεσθαι τῶν πολεμίων τὴν ταύτῃ ἔφοδον,

27 ἢ ἐς κώλυσιν κυκλώσεως· καὶ γὰρ αἱ τῶν ἱππέων τά-
Bl. ξεις ἄλλοτε ἄλλῃ καθίστανται, ὅπου ἂν μέλλωσι ταχθέν-
3 τες ὠφέλιμοι ἔσεσθαι. τὸ μὲν οὖν πᾶν πλῆθος τῆς στρα-
(12) τιᾶς ὁπόσον χρὴ εἶναι, οὐκ ἐπὶ τῷ στρατηγῷ ἑλέσθαι·
τὸ δὲ παρὸν ὅπως συντάξει τε καὶ ἀσκήσει καὶ ἐκ τάξεως
ἐς τάξιν ἄλλην εὐπετῶς μετακινήσει, τοῦτο ἐπασκη-
4 τέον. τοσόνδε μέντοι συμβουλεύσαιμ' ἂν τῷ στρα-
τηγῷ, ἐκ τοῦ παντὸς πλήθους τῆς στρατιᾶς τοσούτους
ἐς τὰς μάχας ἐξαγαγεῖν, ὁπόσοι ἐπιτήδειοι ἔσονται πρὸς
τὰς μεταβολάς τε τῶν τάξεων καὶ τὰς μετακινήσεις, οἷον
διπλασιασμοὺς καὶ πολυπλασιασμοὺς καὶ πτύξεις καὶ
5 ἐξελιγμοὺς ἢ εἴ δή τινες ἄλλαι μεταβολαὶ τάξεων. ἔν-
θεν δὴ τούτους μάλιστα τοὺς ἀριθμοὺς ἐπελέξαντο οἱ
δεινοὶ ἀμφὶ ταῦτα, ὅσοι ἀριθμοὶ μέχρι μονάδος οἷοί τε
δίχα διαιρεῖσθαι, ὁποία ἐστὶν ἡ τῶν μυρίων καὶ ἑξα-
κισχιλίων καὶ τριακοσίων καὶ ἐπὶ τούτοις τεσσάρων καὶ
ὀγδοήκοντα τάξις εἰ τύχοι οὖσα ὁπλιτική· ταύτης δὲ ἡμί-
28 σειαν τὴν τῶν ψιλῶν, καὶ ταύτης ἔτι ἡμίσειαν τὴν τῶν
Bl. ἱππέων. οὗτος γάρ τοι ὁ ἀριθμὸς μέχρι μονάδος δίχα
τέμνεται, ὥστε διπλασιάζειν αὐτὸν ἐς βάθος συνάγοντα
καὶ αὖ ἐκτείνειν ἀναπτύσσοντα εὐμαρὲς καθίστασθαι,
6 ὁπότε τούτου δεήσειεν. αὐτίκα ἐπεὶ τῷ λόχῳ ἑκκαίδεκα
(13) ἀνδρῶν τὸ βάθος ὑπεθέμεθα, τέσσαρες καὶ εἴκοσι ἐπὶ
τοῖς χιλίοις ἔσονται οἱ λόχοι ἐν τῷδε τῷ ἀριθμῷ, καὶ
οὗτοι μεμερισμένοι ἐς τάγματα, ὧν ἑκάστῳ καὶ ὄνομα
οἰκεῖον πρόσκειται.

10 οἱ μέν γε δύο λόχοι διλοχία καλεῖται, ἀνδρῶν
δύο καὶ τριάκοντα, καὶ διλοχίτης ὁ τούτων ἡγούμενος·
οἱ δὲ τέσσαρες λόχοι τετραρχία, καὶ ὁ τούτων ἡγούμε-
νος τέτραρχος τεσσάρων καὶ ἑξήκοντα ἀνδρῶν ἔξαρχος.
2 αἱ δὲ δύο τετραρχίαι τάξις, λόχων μὲν ὀκτώ, ἀνδρῶν
δὲ ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατόν, καὶ ὁ τούτων ἡγούμενος

ταξίαρχος. ὅπου δὲ ἐξ ἑκατὸν γίγνεται τὸ τάγμα, 3
ἑκατόνταρχος ὁ τούτων αὖ ἡγεμὼν ὀνομάζεται. αἱ δὲ 29 Bl.
δύο τάξεις σύνταγμα καλεῖται, λόχων μὲν ἑκκαίδεκα,
ἀνδρῶν δὲ ἓξ καὶ πεντήκοντα καὶ διακοσίων, καὶ ὁ τού-
των αὖ ἡγούμενος συνταγματάρχος. οἱ δὲ καὶ ξενα-
γίαν τοῦτο ὀνομάζουσι, καὶ ξεναγὸν τὸν τούτου ἡγού-
μενον. καθ' ἑκάστην δὲ σύνταξιν τῶν ἓξ καὶ πεντήκοντα 4
καὶ διακοσίων ἐπίλεκτοί εἰσι σημειοφόρος, οὐραγός,
σαλπιγκτής, ὑπηρέτης, στρατοκήρυξ· καὶ τὸ πᾶν
σύνταγμα ἐς τετράγωνον σχῆμα ταχθὲν ἐς ἑκκαίδεκα 30 Bl.
ἔχει τὸ μῆκος καὶ τὸ βάθος. τὰ δὲ δύο συντάγματα γί- 5
γνεται ἀνδρῶν δώδεκα καὶ πεντακοσίων, λόχων δύο καὶ
τριάκοντα, καὶ τούτων ὁ ἡγούμενος πεντακοσίαρχος.
τοῦτο δὲ διπλασιασθὲν γίγνεται χιλιαρχία, ἀνδρῶν μὲν
τεσσάρων καὶ εἴκοσι καὶ χιλίων, λόχων δὲ τεσσάρων καὶ
ἑξήκοντα, καὶ ὁ ἐπὶ τούτοις χιλίαρχος. αἱ δὲ δύο χιλι-
αρχίαι μεραρχία, δισχιλίων ἀνδρῶν καὶ ὀκτὼ καὶ τεσ-
σαράκοντα, λόχων ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατόν, καὶ ὁ τού-
των ἔξαρχος μέραρχος. οἱ δὲ καὶ τέλος τοῦτο ὀνομάζου-
σιν. αἱ δὲ δύο μεραρχίαι φαλαγγαρχία, τετρακισχιλίων 6
ἀνδρῶν καὶ ἓξ καὶ ἐνενήκοντα, λόχων ἓξ καὶ πεντή-
κοντα καὶ διακοσίων, καὶ ὁ τούτων αὖ ἡγούμενος φα-
λάγγαρχος. οἱ δὲ καὶ στρατηγίαν τοῦτο ὀνομάζουσι, 7
καὶ τὸν ἡγούμενον στρατηγόν. αἱ δὲ δύο φαλαγγαρχίαι 31 Bl.
διφαλαγγαρχία, δύο ἀνδρῶν καὶ ἐνενήκοντα καὶ ἑκα-
τὸν καὶ ὀκτακισχιλίων, λόχων δώδεκα καὶ πεντακοσίων.
ἔστι δὲ τὸ τάγμα τοῦτο καὶ μέρος καὶ κέρας. αἱ γάρ τοι 8
δύο διφαλαγγαρχίαι τετραφαλαγγαρχία τε καλεῖται
καὶ λόχων γίγνεται χιλίων καὶ εἴκοσι καὶ τεσσάρων, ἀνδρῶν
μυρίων ἑξακισχιλίων τριακοσίων ὀγδοήκοντα ἐπόντων
τεσσάρων, ὅντινα τὸν πάντα ἀριθμὸν τῇ πεζικῇ τάξει 9
ὑπεθέμεθα, καὶ εἴη ἂν ἐν τούτῳ κέρατα μὲν δύο, φα-

ἐκ χωρίου ὀχυροῦ πολεμίους τῷ διὰ μακροῦ τὰ βέλη
ἀφιέντες ἐλπίδα παρέχειν ὅτι ἐπιόντας οὐκ ἂν δέξαιντο. (116)
4 χρήσιμοι δὲ καὶ φάλαγγα τεταγμένην διαλῦσαι καὶ
ἵππον ἐπιφερομένην ἀναστεῖλαι καὶ χωρία ὑπερδέξια
42 Bl. καταλαβέσθαι τῷ τε ταχεῖς εἶναι διὰ κουφότητα καὶ τῷ,
εἰ καταλάβοιεν, τῇ συνεχείᾳ τοῦ ἀκροβολισμοῦ μηδένα
5 πελάσαι αὐτοῖς ἄνευ πολλῶν τραυμάτων. χρήσιμοι δὲ
καὶ ἀποκρούσασθαι ἀπὸ χωρίου τοὺς κατειληφότας, οὐχ
ὑπομένοντας τὰ τραύματα, ἐπιτήδειοι δὲ καὶ τὰ ὕποπτα
χωρία διερευνήσασθαι, ὠφέλιμοι δὲ καὶ ἐς ἐνέδραν
ἐγκαθέξεσθαι, ἑνί τε λόγῳ καὶ προαγωνίσασθαι τῶν
πεζῶν ἀγαθοὶ καὶ συναγωνίσασθαι ὠφέλιμοι καὶ ἐπι-
μαχόμενοι ἱκανοὶ τελέαν τὴν ἧσσαν τοῖς πρὸς τῶν πεζῶν
τραπεῖσι βαρβάροις καταστῆσαι.

16 τῶν δὲ δὴ ἱππέων ποικίλαι καὶ πολυειδεῖς αἱ τάξεις,
(20) αἱ μὲν τετράγωνοι, αἱ δὲ ἑτερομήκεις, αἱ δὲ ῥομ-
2 βοειδεῖς, αἱ δὲ ἐς ἔμβολον συνηγμέναι. ἀγαθαὶ
δὲ σύμπασαι αὗται αἱ τάξεις ἐν καιρῷ τασσόμεναι, καὶ
μίαν οὐκ ἄν τις ἐπιλεξάμενος αὐτῶν προκρίνειεν τῶν
ἄλλων, ὅτι ἐν ἄλλῳ χωρίῳ καὶ πρὸς ἄλλους πολεμίους καὶ
ἐν καιρῷ ἄλλῳ εὕροι ἂν τῆς προκριθείσης ἄλλην ὠφελι-
3 μωτέραν. τῇ μὲν δὴ ῥομβοειδεῖ τάξει τὸ πολὺ Θεσσα-
λοὶ ἐχρήσαντο, καὶ Ἰάσων, ὡς λόγος, ὁ Θεσσαλὸς τὸ σχῆμα
τοῦτο πρῶτος ἐξεῦρεν, ἐμοὶ δὲ δοκεῖν, προεξευρημένῳ
44 Bl. πολλῷ χρησάμενος ἀπ' αὐτοῦ ηὐδοκίμησεν. καὶ ἔστιν ἐς
4 πᾶσάν τε μεταβολὴν ἁρμοδιώτατον καὶ πρὸς τὸ ἥκιστα
5 κατὰ νώτου ἢ πλαγίους ἁλίσκεσθαι ἀσφαλέστατον. κατὰ
μὲν γὰρ τὰς γωνίας τοῦ ῥόμβου τοὺς ἡγεμόνας τεταγμέ-
νους ἔχει, ἐπὶ μὲν τῆς ἔμπροσθεν τὸν ἴλαρχον, ἐπὶ δὲ
τῆς δεξιᾶς καὶ εὐωνύμου τοὺς καλουμένους πλαγιοφύ-
λακας, ἐπὶ δὲ τῆς ὑπολοίπου τὸν οὐραγόν, κατὰ δὲ τὰς
6 πλευρὰς τοῦ ῥόμβου τοὺς ἀρίστους τῶν ἱππέων. ταῖς δὲ δὴ

μεγίστους τε καὶ κρατίστους εἶναι καὶ τῶν κατὰ πόλε-
μον δαημονεστάτους· τοῦτο γάρ τοι τὸ ζυγὸν συν- 2
έχει τὴν πᾶσαν φάλαγγα, καὶ τὸ ἴσον παρέχεται ἐν ταῖς 34 Bl.
μάχαις ὅ τι περ τὸ στόμωμα τῷ σιδήρῳ· ὁποῖον γὰρ
ἡ τομὴ τοῦ σιδήρου, ταὐτὸ τοῦτο καὶ ὁ πᾶς σίδη-
ρος ἐργάζεται. ἡ μέν γε τομὴ αὐτῷ κατὰ τὸ στό-
μωμα γίγνεται, τὸ δὲ ὑπόλοιπον, καὶ εἰ μαλθακὸν
τύχοι ὄν, τῷ βάρει ὅμως συνεπερείδει τῷ τέμνοντι·
οὕτω καὶ τῆς φάλαγγος στόμωμα μὲν θείη τις ἂν τὸ ἐκ
τῶν λοχαγῶν σύνταγμα, ὄγκον δὲ καὶ βάρος τὸ κατόπιν
τούτων πλῆθος. δευτέρους δ' ἐπὶ τούτοις κατ' ἀρετὴν 3
χρὴ εἶναι τοὺς τῶν λοχαγῶν ἐπιστάτας· καὶ γὰρ τὸ τού-
των δόρυ ἐξικνεῖται ἔστε ἐπὶ τοὺς πολεμίους, καὶ τοὺς
ὠθισμοὺς τοῖς προτεταγμένοις σφῶν ἐγγύθεν συνερεί-
δουσιν. ἤδη δέ τις καὶ μαχαίρᾳ τοῦ ἐναντίου ἐφικέ- 4
σθαι ἐδυνήθη, ὑπερενεγκὼν ὑπὲρ τὸν ἔμπροσθεν τεταγ-
μένον τὴν πληγήν, καὶ πεσόντος ἡγεμόνος ἢ καὶ τρω-
θέντος ὡς ἀπόμαχον γενέσθαι, προπηδήσας ὁ πρῶτος 35 Bl.
ἐπιστάτης ἐς λοχαγοῦ τάξιν τε καὶ ἀξίωσιν κατέστη, καὶ
ἀρραγῆ τὴν πᾶσαν φάλαγγα παρέσχετο. τὸ δὲ τρίτον 5
καὶ τέταρτον ζυγὸν κατὰ λόγον ἤδη τῆς ἀπὸ τοῦ πρώτου
ἀποστάσεως ἐπιλεγομένους τακτέον. ταύτῃ τοι καὶ ἡ Μα- 6
κεδονικὴ φάλαγξ φοβερὰ τοῖς πολεμίοις οὐκ ἐν τῷ ἔργῳ (16)
μόνον ἀλλὰ καὶ ἐν τῇ ὄψει ἐφαίνετο. ἀνὴρ γὰρ ὁπλίτης
εἱστήκει αὐτοῖς κατὰ πύκνωσιν ἐν δύο πήχεσι μάλιστα,
τὸ δὲ μέγεθος τῶν σαρισῶν πόδας ἐπεῖχεν ἑκκαίδεκα. 7
καὶ τούτων οἱ μὲν τέσσαρες διὰ τὴν χεῖρά τε τοῦ κατέχον- 36
τος καὶ τὸ ἄλλο σῶμα ἀπεγίγνοντο, οἱ δώδεκα δὲ προεῖ- Bl.
χον πρὸ τῶν σωμάτων ἑκάστου τῶν πρωτοστατῶν. οἱ 8
δ' ἐν τῷ δευτέρῳ ζυγῷ ὑποβεβηκότες ἐκείνων ποσὶ 37
δυσὶ τὴν σάρισαν αὖ εἶχον προβεβλημένην ὑπὲρ τοὺς Bl.
πρωτοστάτας ἐς πόδας δέκα, οἱ δ' ἐν τῷ τρίτῳ ἔτι καὶ 9

οὗτοι ὑπεραίρουσαν ὑπὲρ τοὺς πρωτοστάτας ἐς πόδας
ὀκτώ. καὶ ἔτι οἱ ἐν τῷ τετάρτῳ ἐς ἕξ, καὶ ἔτι οἱ ἐν τῷ
10 πέμπτῳ ἐς τέσσαρας, οἱ δ' ἐν τῷ ἕκτῳ ἐς δύο. καθ' ἕκαστον
οὖν τῶν πρωτοστατῶν ἓξ σάρισαι προβεβλημέναι ἦσαν,
38 Bl. ἐν κύκλῳ ἐφεξῆς ὑποβαίνουσαι, ὥστε ἕκαστον ὁπλίτην
ἓξ σαρίσαις πεφράχθαι καὶ ταῖς δυνάμεσιν ἐπερείδειν
ὅποι ἐπιβρίσειαν. καὶ οἱ τῷ ἕκτῳ δ' ἐφεστηκότες εἰ
καὶ μὴ αὐταῖς ταῖς σαρίσαις ἀλλὰ τῷ γε βάρει τῶν
σωμάτων συνεπήρειδον τοῖς πρὸ σφῶν τεταγμένοις, ὡς
τήν τε ἐμβολὴν τὴν ἐς τοὺς πολεμίους τῆς φάλαγγος οὐ
φορητὴν γίγνεσθαι, καὶ τοῖς πρωτοστάταις αὖ ἄπορον
11 τὴν φυγήν. τοὺς δὲ οὐραγοὺς οὐχ οὕτω τι κατ' ἀλκὴν
ὡς κατὰ σύνεσιν καὶ ἐμπειρίαν τῶν πολεμικῶν ἐπιλέκτους χρὴ εἶναι, ὡς ἐπιμέλεσθαι τοῦ στοιχεῖν τὰ ζυγὰ καὶ τοῖς ἐθελοκακοῦσι μὴ ἐφιέναι ἀποδιδράσκειν ἔξω τῆς τάξεως. ὅπου τε συνασπισμοῦ δεήσειεν, οὗτός ἐστιν ὁ μάλιστα ἐς πυκνότητα τοὺς πρὸ ἑαυτοῦ τεταγμένους συνάγων, ὃ τὴν πᾶσαν ἰσχὺν τῷ συντάγματι τούτῳ παρέχεται.

13 τούς γε μὴν ψιλοὺς ἄλλοτε ἄλλῃ τακτέον· ἄλλοτε
(17) γὰρ ἄλλῃ ὠφέλιμοι γίγνονται τεταγμένοι, ὅπως ἂν ἢ τὰ
τῆς χώρας ἔχῃ, ἵνα ἡ παράταξις γίγνεται, ἢ τῶν πολε-
2 μίων ἡ παρασκευή, πρὸς οὕστινας ἀντιτασσόμεθα. ποτὲ
μὲν γὰρ προτετάχθαι δεήσει τῆς φάλαγγος, ἄλλοτε δὲ
ἐν τοῖς δεξιοῖς νῦν δὲ ἐν τοῖς εὐωνύμοις τετάχθαι· τὸ
πολὺ δὲ καὶ κατόπιν τῶν ὁπλιτῶν ἱστάμενοι ὠφελοῦσιν·
39 Bl. ἤδη δὲ καὶ ἐς λόχους καταχωρισθέντων τῶν πεζῶν,
λόχοι τῶν ψιλῶν παρενεβλήθησαν ἐναλλάξ.

14 τὸν δὲ ἀριθμὸν τάξεώς τε ἑκάστης καὶ τὰ ὀνόματα
2 αὐτῆς τε καὶ τῶν ἡγουμένων ἤδη λεκτέον. πρῶτα μὲν
δὴ ἐπὶ τῶν πεζῶν ἡμίσεας τοὺς ψιλούς φαμεν χρῆναι
ἔχειν, εἰ σύμμετροι ἔσονται πρὸς τὸ ἔργον, καὶ τοὺς

λόχους αὐτῶν οὐχὶ ἑκκαίδεκα ἀνδρῶν χρὴ εἶναι ἀλλ'
ὀκτώ, ὥστε τοὺς χιλίους καὶ τέσσαρας καὶ εἴκοσι λόχους
τὸν ἥμισυν ἀριθμὸν ἐκπιμπλάναι τῆς πεζικῆς φάλαγγος,
καὶ εἶναι ἀνδρῶν ὀκτακισχιλίων καὶ ἑκατὸν καὶ δυοῖν ἐπὶ
τοῖς ἐνενήκοντα. ὀνόματα δὲ αὐτῶν καὶ τάξεις αἵδε εἰ- 3
σίν. οἱ τέσσαρες λόχοι τῶν ψιλῶν καλοῦνται σύστασις, (18)
καὶ εἰσὶν ἀνδρῶν δύο καὶ τριάκοντα· αἱ δὲ δύο συστά-
σεις πεντηκονταρχία, τεσσάρων καὶ ἑξήκοντα ἀν-
δρῶν· αἱ δὲ δύο πεντηκονταρχίαι ἑκατονταρχία ὀκτὼ 40 Bl.
καὶ εἴκοσιν ἀνδρῶν καὶ ἑκατόν. καθ' ἑκάστην δὲ ἑκα- 4
τονταρχίαν ἔκτακτοι ἄνδρες τέσσαρες ἔστων, σημειο-
φόρος καὶ σαλπιγκτὴς καὶ ὑπηρέτης καὶ στρατο-
κήρυξ. αἱ δὲ δύο ἑκατονταρχίαι εἰσὶ μὲν ἀνδρῶν ἓξ καὶ
πεντήκοντα καὶ διακοσίων, καλεῖται δὲ τὸ σύνταγμα ψι-
λαγία· αἱ δὲ δύο ψιλαγίαι ξεναγία, δώδεκα ἀνδρῶν
καὶ πεντακοσίων. αἱ δὲ δύο ξεναγίαι, ἀνδρῶν τεσσάρων 5
καὶ εἴκοσι καὶ χιλίων, σύστρεμμα καλεῖται. τὰ δὲ δύο
συστρέμματα ἐπιξεναγία ὀνομάζεται, ὀκτὼ καὶ τεσσα-
ράκοντα ἀνδρῶν καὶ δισχιλίων· αἱ δὲ δύο ἐπιξεναγίαι
στῖφος, ἓξ καὶ ἐνενήκοντα ἀνδρῶν καὶ τετρακισχιλίων.
τὰ δὲ δὴ δύο στίφη ἐπίταγμα ὀνομάζουσι, λόχων μὲν 41 Bl.
τεσσάρων καὶ εἴκοσι καὶ χιλίων, ἀνδρῶν δὲ ὀκτακισχι-
λίων ἑκατὸν ἐνενήκοντα δυοῖν ἐπόντοιν. δεῖ δὲ καὶ τού- 6
τοις συντετάχθαι ἄνδρας ὀκτὼ ἐπιλέκτους, ὧν τέσσαρες
μὲν ἔσονται ἐπιξεναγοί, τέσσαρες δὲ συστρεμμά-
ταρχοι.

26) ὠφέλιμοι δ' ἐν μάχῃ τοξόται τε καὶ ἀκοντισταὶ 15
καὶ σφενδονῆται καὶ πάντες ὅσοι ἑκηβόλοις ὅπλοις (19)
διαχρῶνται πολλαχῇ· καὶ γὰρ ὅπλα συντρῖψαι τῶν πο- 2
λεμίων ἱκανοί, μάλιστα δὲ οἱ τοῖς λίθοις ἀκροβολιζόμενοι,
καὶ τραύματα ἐκ μακροῦ ἐμβαλεῖν, εἰ δὲ βιαιοτέρα πληγὴ
γένοιτο, καὶ κατακανεῖν. χρήσιμοι δ' ἐκκαλέσασθαι 3

ἐκ χωρίου ὀχυροῦ πολεμίους τῷ διὰ μακροῦ τὰ βέλη
ἀφιέντες ἐλπίδα παρέχειν ὅτι ἐπιόντας οὐκ ἂν δέξαιντο. (116)
4 χρήσιμοι δὲ καὶ φάλαγγα τεταγμένην διαλῦσαι καὶ
ἵππον ἐπιφερομένην ἀναστεῖλαι καὶ χωρία ὑπερδέξια
42 Bl. καταλαβέσθαι τῷ τε ταχεῖς εἶναι διὰ κουφότητα καὶ τῷ,
εἰ καταλάβοιεν, τῇ συνεχείᾳ τοῦ ἀκροβολισμοῦ μηδένα
5 πελάσαι αὐτοῖς ἄνευ πολλῶν τραυμάτων. χρήσιμοι δὲ
καὶ ἀποκρούσασθαι ἀπὸ χωρίου τοὺς κατειληφότας, οὐχ
ὑπομένοντας τὰ τραύματα, ἐπιτήδειοι δὲ καὶ τὰ ὕποπτα
χωρία διερευνήσασθαι, ὠφέλιμοι δὲ καὶ ἐς ἐνέδραν
ἐγκαθέξεσθαι, ἑνί τε λόγῳ καὶ προαγωνίσασθαι τῶν
πεζῶν ἀγαθοὶ καὶ συναγωνίσασθαι ὠφέλιμοι καὶ ἐπι-
μαχόμενοι ἱκανοὶ τελέαν τὴν ἧσσαν τοῖς πρὸς τῶν πεζῶν
τραπεῖσι βαρβάροις καταστῆσαι.
16 τῶν δὲ δὴ ἱππέων ποικίλαι καὶ πολυειδεῖς αἱ τάξεις,
αἳ μὲν τετράγωνοι, αἳ δὲ ἑτερομήκεις, αἳ δὲ ῥομ-
2 βοειδεῖς, αἳ δὲ ἐς ἔμβολον συνηγμέναι. ἀγαθαὶ
δὲ σύμπασαι αὗται αἱ τάξεις ἐν καιρῷ τασσόμεναι, καὶ
μίαν οὐκ ἄν τις ἐπιλεξάμενος αὐτῶν προκρίνειεν τῶν
ἄλλων, ὅτι ἐν ἄλλῳ χωρίῳ καὶ πρὸς ἄλλους πολεμίους καὶ
ἐν καιρῷ ἄλλῳ εὕροι ἂν τῆς προκριθείσης ἄλλην ὠφελι-
3 μωτέραν. τῇ μὲν δὴ ῥομβοειδεῖ τάξει τὸ πολὺ Θεσσα-
λοὶ ἐχρήσαντο, καὶ Ἰάσων, ὡς λόγος, ὁ Θεσσαλὸς τὸ σχῆμα
τοῦτο πρῶτος ἐξεῦρεν, ἐμοὶ δὲ δοκεῖν, προεξευρημένῳ
44 Bl. πολλῷ χρησάμενος ἀπ' αὐτοῦ ηὐδοκίμησεν. καὶ ἔστιν ἐς
4 πᾶσάν τε μεταβολὴν ἁρμοδιώτατον καὶ πρὸς τὸ ἥκιστα
5 κατὰ νώτου ἢ πλαγίους ἁλίσκεσθαι ἀσφαλέστατον. κατὰ
μὲν γὰρ τὰς γωνίας τοῦ ῥόμβου τοὺς ἡγεμόνας τεταγμέ-
νους ἔχει, ἐπὶ μὲν τῆς ἔμπροσθεν τὸν ἴλαρχον, ἐπὶ δὲ
τῆς δεξιᾶς καὶ εὐωνύμου τοὺς καλουμένους πλαγιοφύ-
λακας, ἐπὶ δὲ τῆς ὑπολοίπου τὸν οὐραγόν, κατὰ δὲ τὰς
6 πλευρὰς τοῦ ῥόμβου τοὺς ἀρίστους τῶν ἱππέων. ταῖς δὲ δὴ

ἐμβολοειδέσι τάξεσι Σκύθας κεχρῆσθαι μάλιστα ἀκού-
ομεν, καὶ Θρᾷκας, ἀπὸ Σκυθῶν μαθόντας. Φίλιππος
δὲ ὁ Μακεδὼν καὶ Μακεδόνας ταύτῃ τῇ τάξει χρῆσθαι
ἐπήσκησεν. ὠφέλιμος δὲ καὶ αὕτη δοκεῖ ἡ τάξις, ὅτι 7
ἐν κύκλῳ οἱ ἡγεμόνες τεταγμένοι εἰσί, καὶ τὸ μέτωπον 45 Bl.
ἐς ὀξὺ ἀπολῆγον εὐπετῶς πᾶσαν τάξιν πολεμίαν δια-
κόπτειν παρέχει, καὶ τὰς ἐπιστροφάς τε καὶ ἀναστροφὰς
ὀξείας ποιεῖσθαι δίδωσιν. αἱ γὰρ τετράγωνοι τάξεις 8
δυσπεριάγωγοί εἰσιν· ἡ δ' ἐς ὀξὺ προηγμένη, εἰ καὶ
προϊοῦσα ἐς βάθος προχωρεῖ, ἀλλ' αὐτῇ γε τῇ ἀρχῇ δι'
ὀλίγου ἐπιστρέφουσα τὴν πᾶσαν τάξιν εὐμαρῶς ἐξελισ-
σομένην παρέχεται. ταῖς δὲ δὴ τετραγώνοις τάξεσι 9
Πέρσαι μάλιστα ἐχρήσαντο, καὶ οἱ ἐν Σικελίᾳ βάρβαροι
καὶ τῶν Ἑλλήνων οἱ πλεῖστοι καὶ ἱππικώτατοι· εὐ- 10
σύντακτός τε γὰρ ἥδε ἡ τάξις ἄλλης μᾶλλον, ἅτε καὶ
κατὰ στίχον καὶ κατὰ ζυγὸν τεταγμένων, καὶ τὰς ἐπε-
λάσεις τε καὶ ἀπελάσεις εὐμαρεστέρας παρέχεται, καὶ 46 Bl.
μόνον οὕτω πάντες οἱ ἡγεμόνες ἀθρόοι ἐμπίπτουσι
τοῖς πολεμίοις. ἄρισται δέ εἰσιν αἱ διπλασίονα τὸν 11
ἀριθμὸν ἐν τῷ μήκει ἤπερ ἐν τῷ βάθει ἔχουσαι· οἷον εἰ
ἐπὶ δέκα κατὰ μέτωπον τεταγμένοι εἶεν καὶ ἐπὶ πέντε
ἐς βάθος, ἢ ἐπὶ εἴκοσι μὲν κατὰ μέτωπον, ἐπὶ δέκα
δ' ἐς βάθος. αἱ γὰρ τοιαῦται τάξεις τῷ μὲν ἀριθμῷ 12
ἑτερομήκεις εἰσί, τῷ δὲ σχήματι ἐς τετράγωνον καθί-
στανται. τὸ γὰρ τοῦ ἵππου μῆκος ἀπὸ κεφαλῆς ἐπ' οὐ-
ρὰν ἐκπίμπλησι τοῦ τετραγώνου ὅ τι περ ἐς βάθος τῷ
ἀριθμῷ ἐνδέον· ὥστε ἤδη τινὲς καὶ τριπλασίονα τὸν
ἀριθμὸν τῶν ἐν τῷ μήκει τασσομένων ἐποίησαν πρὸς τὸ
βάθος, οὕτως οἰόμενοι ἐς ἀκριβὲς τετράγωνον κατα- 48 Bl.
στήσειν τὸ σχῆμα, ὡς τριπλάσιον τὸ μῆκος τοῦ ἵππου
ὑπὲρ τὸ πλάτος τοῦ ἀνθρώπου τὸ κατὰ τοὺς ὤμους ἐπέ-
χον, ὥστε ἐννέα κατὰ μῆκος ἐν τῷ μετώπῳ τάσσοντες

13 τρεῖς ἐν τῷ βάθει ἐπέτασσον. ἐπεὶ οὐδ' ἐκεῖνο χρὴ
ἀγνοεῖν, ὅτι οἱ ἐς βάθος τεταγμένοι ἱππῆς οὐ τὴν
ἴσην ὠφέλειαν παρέχουσιν, ἥνπερ τὸ ἐπὶ τῶν πεζῶν
βάθος· οὔτε γὰρ ἐπωθοῦσι τοὺς πρὸ σφῶν, διὰ τὸ μὴ
δύνασθαι ἐπερείδειν ἵππον ἵππῳ, καθάπερ ἐκεῖ κατὰ
τοὺς ὤμους καὶ τὰς πλευρὰς αἱ ἐνερείσεις γίγνονται τῶν
14 πεζῶν, οὔτε συνεχεῖς γιγνόμενοι τοῖς πρὸ σφῶν τε-
49 Bl. ταγμένοις ἕν τι βάρος τοῦ παντὸς πλήθους ἀποτελοῦ-
σιν, ἀλλ' εἰ συνερείδοιεν καὶ πυκνοῖντο, ἐκταράσσουσι
μᾶλλον τοὺς ἵππους.

17 ὁ δὲ ῥόμβος ὧδε ἔχει. ὁ μὲν ἴλαρχος πρῶτος τάσ-
σεται, οἱ δ' ἐφ ἑκάτερα αὐτοῦ ἱππῆς οὐκ ἐξ ἴσου αὐτῷ
στοιχοῦσιν, ἀλλ' ἐς τοσόνδε ὑποβεβηκότες, ὥστε τὰς κε-
φαλὰς κατὰ τοὺς ὤμους μάλιστα τοῦ ἵππου τετάχθαι,
50 Bl. ὅτῳ ὁ ἴλαρχος ἐποχεῖται. καὶ οὕτω τοὺς ἐφεξῆς στί-
2 χους πλατύνοντες ἔστε ἐπὶ τὸ ἥμισυ τοῦ παντός, ἐνθένδε
αὖ κατὰ ταὐτὰ ἐς στενὸν συνάγοντες τὸν ῥόμβον ἐκπλη-
3 ροῦσι. τὸ δὲ ἥμισυ τοῦ ῥόμβου ἔμβολόν ἐστιν, ὥστ'
ἐνταὐτῷ δεδήλωταί μοι καὶ τοῦ ἐμβόλου τὸ σχῆμα. ἑτε-
ρομήκης δ' ἐστὶ τάξις ἡ τὸ βάθος τοῦ μετώπου μεῖζον
ἔχουσα ἢ τοῦ βάθους τὸ μέτωπον, ἥπερ ἀμείνων τῆς
προτέρας ἐς τοὺς ἀγῶνας, εἰ μή που διεκπεσεῖν διὰ πολε-
4 μίας τάξεως ἐθέλοιμεν — τότε γὰρ ἡ βαθυτάτη τε καὶ
κατὰ μέτωπον στενοτάτη τάξις ἂν εἴη ὠφελιμωτάτη —,
51 Bl. ἢ εἴ που ἀποκρύψαι δέοι τῶν ἱππέων τὸ πλῆθος,
ὡς προκαλέσασθαι τοὺς πολεμίους ἐς θάρσος ἀσύμ-
5 φορον. ἡ δ' ἐφ' ἑνὸς ἐπὶ μετώπου ἀβαθὴς τάξις ἐς
λεηλασίας ἀνυπόπτους ἐπιτήδειος, ἢ εἴ που καταπατῆσαί
τι ἢ ἀφανίσαι ἐθέλοιμεν· ἐς δὲ τοὺς ἀγῶνας τὸ πολὺ
ἀσύμφορος.

18 εἰ τοίνυν ὁ ἀριθμὸς εἴη τῶν ἱππέων ἐς ὅσον ὑπεθέ-
(21) μεθα, ἀποδεόντων τῶν τε ὁπλιτῶν καὶ τοῦ τῶν ψιλῶν

πλήθους, εἴη ἂν ἐς τετρακισχιλίους καὶ ἓξ καὶ ἐνενήκοντα
ἱππέας. ἴλην δ' ἑκάστην ἐποίουν ἐκ τοσοῦδε ἀριθμοῦ 2
ἑξήκοντα καὶ τεσσάρων ἱππέων, καὶ ἰλάρχους τοὺς ἐφ'
ἑκάστῃ ἴλῃ τεταγμένους. αἱ δὲ δύο ἶλαι ἐπιλαρχία αὐ-
τοῖς ὠνομάζετο, καὶ ἦν ὀκτὼ καὶ εἴκοσι καὶ ἑκατὸν ἱπ-
πέων· αἱ δὲ δύο ἐπιλαρχίαι ταραντιναρχία, ἓξ καὶ 3
πεντήκοντα ἱππέων ἐπὶ τοῖς διακοσίοις· αἱ δὲ δύο τα-
ραντιναρχίαι ἱππαρχία, δώδεκα καὶ πεντακοσίων ἱπ-
πέων, ἥντινα Ῥωμαῖοι ἴλην καλοῦσιν· αἱ δὲ δύο ἱπ- 4
παρχίαι ἐφιππαρχία, τεσσάρων καὶ εἴκοσιν ἀνδρῶν καὶ 52 Bl.
χιλίων· τέλος δὲ αἱ δύο ἐφιππαρχίαι, ὀκτὼ καὶ τεσσα-
ράκοντα καὶ δισχιλίων· τὰ δὲ δύο τέλη ἐπίταγμα ἤδη
ὠνόμαζον, ἓξ καὶ ἐνενήκοντα καὶ τετρακισχιλίων.

τὸ δὲ τῶν ἁρμάτων καὶ τῶν ἐλεφάντων τάς τε 19
τάξεις καὶ τὰ ὀνόματα τῶν τάξεων καὶ τὰς ἡγεμο- (22)
νίας καὶ τὰ τούτων αὖ ὀνόματα ἐπεξιέναι ματαίου
πόνου εἶναί μοι ἔδοξεν, ὅτι ἐκλελειμμένα ἐκ παλαιοῦ
ἤδη λέξειν ἔμελλον. Ῥωμαῖοι μὲν γὰρ οὐδὲ ἐπήσκησάν 2
ποτε τὴν ἀπὸ τῶν ἁρμάτων μάχην, οἱ βάρβαροι δὲ οἱ
μὲν Εὐρωπαῖοι οὐδὲ αὐτοὶ διεχρήσαντο ἅρμασιν, πλήν
γε δὴ οἱ ἐν ταῖς νήσοις ταῖς Βρεττανικαῖς καλουμέναις.
οὗτοι γὰρ συνωρίσι τὸ πολὺ χρῶνται ἵππων καὶ σμι- 3
κρῶν καὶ πονηρῶν, οἱ δίφροι δὲ αὐτοῖς ἐπιτήδειοί εἰσιν
ἐς τὸ ἐλαύνεσθαι κατὰ χωρίων παντοίων. τῶν δὲ 4
Ἀσιανῶν πάλαι μὲν Πέρσαι ἐπήσκησαν τὴν τῶν δρε- 53 Bl.
πανηφόρων τε ἁρμάτων καὶ καταφράκτων ἵππων δι-
φρείαν, ἀπὸ Κύρου ἀρξάμενοι, ἔτι δὲ πρὸ τούτων οἱ 5
σὺν Ἀγαμέμνονι Ἕλληνες καὶ οἱ σὺν Πριάμῳ Τρῶες τὴν
τῶν ἀφράκτων. καὶ Κυρηναῖοι δ' ἐπὶ πολὺ ἀπὸ ἁρμά-
των ἐμάχοντο. ἀλλὰ σύμπαντα ταῦτα τὰ ἐπασκήματα 6
ἐκλέλειπται, καὶ ἡ τῶν ἐλεφάντων δὲ χρεία ἡ ἐς τοὺς

τοῦ τοῦ κατὰ βάθος χωρίου διπλασιασμὸς ἔσται, καὶ
ἡ ἀπὸ τοῦδε ἀποκατάστασις.
26 καὶ μὴν πλαγία μὲν φάλαγξ ἐστὶν ἡ τὸ μῆκος τοῦ
(30) βάθους πολλαπλάσιον ἔχουσα, ὀρθία δέ, ὅταν ἐπὶ κέ-
ρως πορεύηται· οὕτω δὲ αὖ τὸ βάθος τοῦ μήκους πολ-
2 λαπλάσιον παρέχεται. ὅλως τε παράμηκες μὲν τάγμα
ὀνομάζεται ὅ τι περ ἂν τὸ μῆκος ἔχῃ ἐπὶ πλέον τοῦ βά-
θους, ὄρθιον δὲ ὅ τι περ ἂν τὸ βάθος τοῦ μήκους.
3 λοξὴ δὲ ὀνομάζεται φάλαγξ ἡ τὸ μὲν ἕτερον κέρας, ὁπό-
τερον ἂν ὁ στρατηγὸς βούληται, τοῖς πολεμίοις πελάζον
ἔχουσα καὶ αὐτῷ μόνῳ ἀγωνιζομένη, τὸ ἕτερον δὲ δι'
4 64 ὑποστολῆς σῴζουσα. παρεμβολὴν δὲ ὀνομάζουσιν,
Bl. (31) ἐπειδὰν προτεταγμένων τινῶν κατὰ διαστήματα ἐκ τῶν
ἐπιτεταγμένων ἐγκαθιστῶνται αὐτοῖς ἄλλοι ἐπ' εὐθείας,
ὡς ἀναπληρῶσαι τὸ πρόσθεν ἀπολειπόμενον κενὸν τῆς
5 φάλαγγος· πρόσταξιν δέ, ὅταν ἢ ἐξ ἑκατέρων τῶν με-
ρῶν τῆς τάξεως ἢ ἐκ θατέρου κατὰ τὸ κέρας αὐτὸ προσ-
τεθῇ τι στῖφος τῇ πάσῃ φάλαγγι κατ' εὐθὺ τοῦ μετώπου
6 τῆς τάξεως. ἔνταξιν δὲ ὀνομάζουσιν, ἐπειδὰν τοὺς ψι-
λοὺς ἐς τὰ διαστήματα τῶν πεζῶν ἐντάξωσιν, ἄνδρα παρ'
7 ἄνδρα ἱστάντες· ὑπόταξιν δέ, ἐπειδὰν τοὺς ψιλοὺς
ἐπὶ τὰ πέρατα τῆς φάλαγγος ὑποτάξῃ τις ὡς ἐς ἐπι-
κάμπιον.
27 χρὴ δὲ τὰ παραγγέλματα ἐθίζεσθαι τὴν στρατιὰν
(32) ὀξέως δέχεσθαι, τὰ μὲν φωνῇ, τὰ δὲ ὁρατοῖς σημείοις,
2 τὰ δὲ τῇ σάλπιγγι. καὶ σαφέστερα μὲν τυγχάνει ὄντα
τὰ λέξει δηλούμενα, ὅτι καὶ παντὸς τοῦ νοῦ ἡ δήλωσις
οὕτω γίγνεται, οὐχὶ δὲ σύμβολόν τι αὐτὸ μόνον ὁρᾶ-
3 ται ἢ ἀκούεται. ἀλλ' ἐπειδὴ πολλὰ τὰ ἐξείργοντά ἐστιν
65 Bl. ἐν ταῖς μάχαις τὰς διὰ φωνῆς δηλώσεις, ὁ κτύπος
τε ὁ ἐκ τῶν ὅπλων καὶ αἱ παρακελεύσεις ἀλλήλοις καὶ
οἰμωγαὶ τιτρωσκομένων καὶ παριππασία δυνάμεως ἱπ-

στροφῶν συνεχῶν τοῦ παντὸς κίνησις, ὡς μεταλαβεῖν,
(121) *εἰ μὲν ἐπὶ δόρυ γίγνοιτο, τὴ νὲξ ἀριστερῶν ἐπιφάνειαν,*
εἰ δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

σ τ ο ι χ ε ῖ ν δὲ λέγεται τὸ ἐπ' εὐθείας ἰέναι τῷ λοχαγῷ 22
καὶ τῷ οὐραγῷ, σῴζοντας τὰ ἴδια διαστήματα· ζ υ γ ε ῖ ν δὲ (26)
τὸ ἐπ' εὐθείας ἰέναι κατὰ μῆκος ἕκαστον τῶν ἐν τῷ λόχῳ
τῷ συζυγοῦντι. συζυγοῦσι δὲ τῷ μὲν λοχαγῷ οἱ λοχαγοὶ 2
πάντες, τῷ δὲ τούτου ἐπιστάτῃ οἱ τῶν ἄλλων λοχαγῶν 57 Bl.
ἐπιστάται, καὶ ἐφεξῆς ὡσαύτως. καὶ μὴν ἐ ς ὀ ρ θ ὸ ν 3
ἀ π ο δ ο ῦ ν α ι λέγεται τὸ ἐς τὴν καθεστῶσαν ἐξ ἀρχῆς
ἐπιφάνειαν καταστῆσαι τὴν ὄψιν, οἷον εἴ τις ἐπὶ τοὺς
πολεμίους τετραμμένος κελευσθείη ἐπὶ δόρυ κλῖναι,
ἔπειτα αὖ παραγγελθείη ἐς ὀρθὸν ἀποκαταστῆσαι, δεή-
σει πάλιν αὐτὸν ἐπὶ τοὺς πολεμίους τετράφθαι.

ἐ ξ ε λ ι γ μ ῶ ν δὲ δισσαὶ ἰδέαι, ἣ μὲν κ α τ ὰ λ ό χ ο υ ς, ἣ 23
δὲ κ α τ ὰ ζ υ γ ά. τούτων δὲ αὖ ἑκατέρα τριχῇ νενέμηται. ὃ (27)
μὲν γάρ τις ἐ ξ ε λ ι γ μ ὸ ς Μ α κ ε δ ώ ν, ὃ δὲ Λ ά κ ω ν, ὃ δὲ
Κ ρ η τ ι κ ὸ ς ὀνομάζεται· τὸν αὐτὸν δὲ τοῦτον καλούμενον
εὑρίσκω καὶ Π ε ρ σ ι κ ὸ ν καὶ χ ό ρ ι ο ν. Μ α κ ε δ ὼ ν μὲν 2
οὖν ἐστιν ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν ἔμπροσθεν
τόπον, ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας τὴν κατό-
πιν· Λ ά κ ω ν δὲ ὁ μεταλαμβάνων τῆς φάλαγγος τὸν 3
ὀπίσω τόπον, καὶ ὡσαύτως ἀντὶ τῆς κατὰ πρόσωπον ἐπι-
φανείας τὴν κατόπιν. ὁ δὲ Κ ρ η τ ι κ ό ς τε καὶ Π ε ρ σ ι - 58 Bl.
κ ὸ ς ὀνομαζόμενος τὸν αὐτὸν μὲν ἐπέχειν ποιεῖ τόπον τῆς 4
φάλαγγος τὸ πᾶν σύνταγμα, τῶν δ' ἐν μέρει ὁπλι-
τῶν ἕκαστον ἀνθ' οὗ πρότερον ἐπεῖχεν τόπου ἕτερον
μεταλαμβάνειν, τὸν μὲν λοχαγὸν τὸν τοῦ οὐραγοῦ, τὸν
δὲ οὐραγὸν τὸν τοῦ λοχαγοῦ, καὶ ἀντὶ τῆς κατὰ πρόσω-
πον ἐπιφανείας τὴν κατόπιν. οἱ δὲ δὴ κ α τ ὰ ζ υ γ ὰ ἐ ξ - 5
ε λ ι γ μ ο ὶ γίγνονται ἐπειδὰν ἐπὶ τῶν ἀποτομῶν βουληθῇ
τις τὰ κέρατα καθιστάναι, τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κερά-

των, καὶ τὸ μέσον τῆς πάσης φάλαγγος ἀποτελέσαι καρ-
τερόν· ὡσαύτως δὲ καὶ τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις καθ-
6 ίστησι, καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς. εἰ δὲ μὴ παρέχοι
κατὰ μείζω μέρη τῆς φάλαγγος ἐξελιγμοὺς ποιήσασθαι,
πελαζόντων ἤδη τῶν πολεμίων, δέοι δὲ ἐξελίξαι τὴν
τάξιν, τότε δὴ κατὰ συντάγματα ἐξελίσσουσι.

24 καὶ ὁ μὲν κατὰ στίχους ἐξελιγμὸς Μακεδὼν
(28) αὖ καλεῖται, ἐπειδὰν ὁ λοχαγὸς μὲν μεταβάλληται, οἱ δὲ
59 Bl. ὀπίσω ἐκ δόρατος παραπορευόμενοι ἐφεξῆς ἀλλήλων
2 ἵστωνται. Λάκων δ᾽ ἐξελιγμὸς ὀνομάζεται, ἐπειδὰν ὁ
λοχαγὸς μεταβαλλόμενος ἐκ δόρατος ὅλον τὸν λόχον
μεταλλάξῃ ἐς ἄλλον ἴσον τῷ πρόσθεν τόπον, οἱ δὲ λοιποὶ
ἑπόμενοι ἐφεξῆς αὐτῷ τάσσωνται· ἢ ὁπόταν ὁ μὲν οὐ-
ραγὸς μεταβάλληται, ὁ δὲ ὀπίσω αὐτοῦ τεταγμένος ἐκ
δόρατος τοῦ οὐραγοῦ παραπορευόμενος ἔμπροσθεν αὐ-
τοῦ τάσσηται, καὶ οἱ λοιποὶ ὡσαύτως ἄλλος πρὸς ἄλλον
3 ταχθεὶς τὸν λοχαγὸν αὖ πρωτοστάτην ποιήσωνται. χό-
ριος δ᾽ ἐξελιγμὸς γίγνεται, ἐπειδὰν ὁ λοχαγὸς μεταβαλ-
λόμενος ἐπὶ δόρυ προΐῃ ἐπὶ τοῦ λόχου, ἔστ᾽ ἂν κατάσχῃ
60 Bl. τὸν τοῦ οὐραγοῦ τόπον, ὁ δὲ οὐραγὸς τὸν τοῦ λοχαγοῦ.
4 οὗτοι μὲν οὖν κατὰ λόχους γίγνονται· ὡσαύτως δὲ καὶ
οἱ κατὰ ζυγὰ συντελούμενοι, οὐ χαλεποὶ γνωσθῆναι.

25 διπλασιασμῶν δὲ δισσὰ γένη τυγχάνει ὄντα, ἤτοι
(29) κατὰ ζυγὰ ἢ κατὰ βάθος. καὶ τούτων ἕκαστον ἢ τῷ
2 ἀριθμῷ διπλασιάζεται ἢ τῷ τόπῳ. ἀριθμῷ μέν, εἰ
ἀντὶ χιλίων εἴκοσι τεσσάρων τὸ μῆκος δισχιλίων τεσσα-
ράκοντα ὀκτὼ ποιήσαιμεν, τὸν τόπον τὸν αὐτὸν ἐπεχού-
3 σης τῆς πάσης φάλαγγος. γίγνεται δὲ τοῦτο, παρεμβαλ-
λόντων ἡμῶν ἐς τὰ μεταξὺ τῶν ὁπλιτῶν τοὺς ἐν τῷ βάθει
ἐπιστάτας. καὶ οὕτω πυκνοῦται ἡμῖν τὸ μέτωπον τῆς
4 φάλαγγος. ἀποκαταστῆσαι δὲ ἐπειδὰν βουληθῶμεν, παρ-
αγγελοῦμεν ὧδε· ὁ ἐς τὸ μῆκος ἐντεταγμένος,

ἐπάνιθι ἐς τάξιν. εἰ δὲ καὶ τῷ τόπῳ διπλασιάσαι 5
ἐθέλοιμεν τὸ μῆκος, ὡς ἀντὶ σταδίων πέντε ἐς δέκα ἐκ-
τεῖναι τὴν τάξιν, τοὺς ἐκ τοῦ βάθους παρεμβληθέντας
ἐς τὸ κατὰ μῆκος μέσον τῶν ὁπλιτῶν διάστημα ἐπὶ τὰ
δεξιὰ κελεύσομεν ἐξελίσσεσθαι, τοὺς δὲ λοιποὺς καὶ ἡμί-
σεας αὐτῶν ἐπὶ τὰ εὐώνυμα, ἀπὸ τῶν πρὸς τοῖς κέρασι
δευτέρων λόχων ἀρχόμενοι, καὶ οὕτω διπλάσιον ἐφέξει
χῶρον ἡ πᾶσα τάξις. ἀποκαταστῆσαι δὲ ἐπειδὰν βου- 6
ληθῶμεν, παραγγελοῦμεν αὖ ἐξελίσσειν τοὺς κατὰ τὰ 61 Bl.
κέρατα τεταγμένους ἐς οὕστινας πρότερον εἶχον τόπους.
οὐ πάνυ δὲ ὠφέλιμοι οἱ διπλασιασμοὶ ἐγγὺς ὄντων πο- 7
λεμίων, ὅτι ταραχῆς τε τοῦ ἡμετέρου στρατεύματος δό-
ξαν παρέξουσιν ἐκείνοις, καὶ αὐτὸ τὸ στράτευμα ἐν τῇ
μετακινήσει ἀσθενέστερον ἅμα καὶ ἀτακτότερον καθι-
στᾶσιν. ἀλλὰ τοὺς ψιλοὺς ἐπεκτείνειν ἄμεινον καὶ 8
τοὺς ἱππέας, ὡς τὴν ἐκ τοῦ διπλασιασμοῦ ἔκπληξιν ἄνευ
κινήσεως τῆς πεζικῆς φάλαγγος τοῖς πολεμίοις ἐμποιῆ-
σαι. γίγνεται δὲ τὸ διπλασιάζειν ἀναγκαῖον, ἢ ὑπερ- 9
φαλαγγῆσαι ἡμῶν ἐθελησάντων ὑπὲρ τὸ τῶν πολεμίων
κέρας, ἢ κωλῦσαι ὑπερφαλαγγῆσαι ἐκείνους. τὸ βά- 10
θος δὲ διπλασιάζεται, εἰ ὁ δεύτερος λόχος τῷ πρώτῳ ἐπι-
ταχθείη, ὥστε τὸν τοῦ δευτέρου λόχου λοχαγὸν ἐπιστά-
την τοῦ πρώτου λοχαγοῦ γενέσθαι, τὸν δ' ἐπιστάτην
τὸν πρῶτον τοῦ ἐκείνου ἐπιστάτου ἐπιστάτην γενέ-
σθαι· οὕτω γὰρ ὁ μὲν πρόσθεν πρῶτος ὢν τοῦ δευ- 11
τέρου λόχου δεύτερός ἐστι τοῦ πρώτου λόχου, ὁ δὲ δεύ- 63 Bl.
τερος ἐν τῷ δευτέρῳ τέταρτος τοῦ πρώτου, καὶ ὡσαύ-
τως ἐφεξῆς, ἔστ' ἂν ἅπας ὁ δεύτερος λόχος κατὰ τον
πρῶτον ἐπ' εὐθείας ἐναλλὰξ ἐνταχθῇ ἐς βάθος. οὕτω
γάρ τοι καὶ ὁ τέταρτος λόχος τὸν τρίτον βαθυνεῖ, συν-
ταχθεὶς αὐτῷ, καὶ ἁπλῶς οἱ ἄρτιοι ἐς τοὺς περισσοὺς
ἐνταχθήσονται. οὐ χαλεπὸν δὲ γνῶναι, ὅπως καὶ αὐ- 12

τοῦ τοῦ κατὰ βάθος χωρίου διπλασιασμὸς ἔσται, καὶ ἡ ἀπὸ τοῦδε ἀποκατάστασις.

26 καὶ μὴν πλαγία μὲν φάλαγξ ἐστὶν ἡ τὸ μῆκος τοῦ
(30) βάθους πολλαπλάσιον ἔχουσα, ὀρθία δέ, ὅταν ἐπὶ κέρως πορεύηται· οὕτω δὲ αὖ τὸ βάθος τοῦ μήκους πολ-
2 λαπλάσιον παρέχεται. ὅλως τε παράμηκες μὲν τάγμα ὀνομάζεται ὅ τι περ ἂν τὸ μῆκος ἔχῃ ἐπὶ πλέον τοῦ βάθους, ὄρθιον δὲ ὅ τι περ ἂν τὸ βάθος τοῦ μήκους.
3 λοξὴ δὲ ὀνομάζεται φάλαγξ ἡ τὸ μὲν ἕτερον κέρας, ὁπότερον ἂν ὁ στρατηγὸς βούληται, τοῖς πολεμίοις πελάζον ἔχουσα καὶ αὐτῷ μόνῳ ἀγωνιζομένη, τὸ ἕτερον δὲ δι'
4 64 Bl. ὑποστολῆς σῴζουσα. παρεμβολὴν δὲ ὀνομάζουσιν,
(31) ἐπειδὰν προτεταγμένων τινῶν κατὰ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων ἐγκαθιστῶνται αὐτοῖς ἄλλοι ἐπ' εὐθείας, ὡς ἀναπληρῶσαι τὸ πρόσθεν ἀπολειπόμενον κενὸν τῆς
5 φάλαγγος· πρόσταξιν δέ, ὅταν ἢ ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως ἢ ἐκ θατέρου κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στῖφος τῇ πάσῃ φάλαγγι κατ' εὐθὺ τοῦ μετώπου
6 τῆς τάξεως. ἔνταξιν δὲ ὀνομάζουσιν, ἐπειδὰν τοὺς ψιλοὺς ἐς τὰ διαστήματα τῶν πεζῶν ἐντάξωσιν, ἄνδρα παρ'
7 ἄνδρα ἱστάντες· ὑπόταξιν δέ, ἐπειδὰν τοὺς ψιλοὺς ἐπὶ τὰ κέρατα τῆς φάλαγγος ὑποτάξῃ τις ὡς ἐς ἐπικάμπιον.

27 χρὴ δὲ τὰ παραγγέλματα ἐθίζεσθαι τὴν στρατιὰν
(32) ὀξέως δέχεσθαι, τὰ μὲν [illegible] ῇ, τὰ δὲ ὁρατοῖς σημείοις,
2 τὰ δὲ τῇ σάλπιγγι. καὶ [illegible] στερα μὲν τυγχάνει ὄντα τὰ λέξει δηλούμενα, ὅτι [illegible] τὸς τοῦ νοῦ ἡ δήλωσις οὕτω γίγνεται, οὐχὶ δὲ σ[illegible] όν τι αὐτὸ μόνον ὁρᾶ-
3 ται ἢ ἀκούεται. ἀλλ' ἐπειδὴ [illegible] λλὰ τὰ ἐξείργοντά ἐστιν
4 ἐν ταῖς μάχαις τὰς διὰ [illegible] ῆς δηλώσεις, ὁ κτύπος τε ὁ ἐκ τῶν ὅπλων καὶ [illegible] λεύ[illegible] λήλοις καὶ [illegible] καὶ [illegible] ἐκ-

νικῆς, προσεθιστέον τὴν στρατιὰν καὶ τοῖς ὁρατοῖς ση-
μείοις. οὐ μὴν ἀλλὰ καὶ πρὸς ταῦτα ἤδη ἄπορα ἔστιν ἃ 4
γίγνεται, οἷον ὁμίχλη ἢ κονιορτὸς πολὺς ἄνω φερό-
μενος ἢ ἥλιος κατὰ προσώπου ἀντιλάμπων ἢ νιφετὸς
συνεχὴς ἢ ὕδωρ λάβρον ἐξ οὐρανοῦ ἢ τόποι σύνδενδροι
ἢ γήλοφοι ἀνεστηκότες, ὡς μὴ πάσῃ τῇ φάλαγγι ὁρατὰ
γίγνεσθαι τὰ σημεῖα. ὁπότε μὲν δὴ γήλοφοι διακλείοιεν 5
τὴν ὄψιν, πλείω τὰ ὁρατὰ σημεῖα ποιητέον· πρὸς δὲ τὰ
ἐκ τοῦ ἀέρος ἐμπόδια ἡ σάλπιγξ ὠφέλιμος.

ὑπὲρ δὲ τῶν πορειῶν, ὅσας ποιεῖται τὰ στρατόπεδα, 28
ἐκεῖνο χρὴ ἐνθυμεῖσθαι, ὅτι ἣ μέν τις ἐπαγωγὴ ἐν ταῖς (33)
πορείαις ἣ δὲ παραγωγὴ καλεῖται. καὶ ἐπαγωγὴ μέν 2
ἐστιν, ἐπειδὰν τάγμα τάγματι ἐπ' εὐθὺ ἕπηται, οἷον 66 Bl.
ἡγουμένης τετραρχίας αἱ λοιπαὶ τετραρχίαι ταύτῃ ἐπι-
τεταγμέναι πορεύωνται, ἢ αὖ ξεναγίας ἡγουμένης αἱ
λοιπαὶ ξεναγίαι ἕπωνται, ἑνί τε λόγῳ, ἐπειδὰν τοῦ προη-
γουμένου τάγματος τοῖς οὐραγοῖς οἱ τοῦ ἐφεξῆς τάγμα-
τος ἡγεμόνες συνάπτωσιν. παραγωγὴ δ' ἐστίν, ἐπει- 3
δὰν ἡ φάλαγξ πᾶσα πορεύηται τοὺς ἡγεμόνας ἤτοι ἐκ
τῶν εὐωνύμων ἢ ἐκ τῶν δεξιῶν ποιησαμένη. κἂν μὲν
ἐκ τῶν εὐωνύμων ποιήσηται, εὐώνυμος παραγωγὴ
καλεῖται, ἂν δὲ ἐκ τῶν δεξιῶν, δεξιά. ὅπως δ' ἂν ἡ 4
πορεία γίγνηται, εἴτε κατ' ἐπαγωγὴν εἴτ' ἐν παραγωγῇ,
ἤτοι ἐν μονοπλεύρῳ τῷ τάγματι ἡ στρατιὰ βαδιεῖ-
ται, ἢ ἐν διπλεύρῳ ἢ ἐν τριπλεύρῳ ἢ ἐν τετρα-
πλεύρῳ· μονοπλεύρῳ μέν, ἐπειδὰν ἕνα τόπον ὕπ- 5
οπτον ἔχῃ ὁ στρατηγός· διπλεύρῳ δέ, ἐπειδὰν δύο·
τριπλεύρῳ δέ, ἐπειδὰν τρεῖς· τετραπλεύρῳ δέ,
ἐπειδὰν πάντοθεν οἱ πολέμιοι ἐπιστήσεσθαι πιθανοὶ δο-
κῶσι. καὶ μὴν ποτὲ μὲν ἐν μονοφαλαγγίᾳ ἡ πορεία 6
γίγνεται, ποτὲ δὲ ἐν διφαλαγγίᾳ, καὶ ὡσαύτως ἐν

τριφαλαγγίᾳ τε καὶ τετραφαλαγγίᾳ. καὶ ταῦτα
67 Bl. οὐ χαλεπὸν συμβάλλειν ἀπὸ τῶν πρόσθεν τάξεων.
29 ἔτι δὲ ἀμφίστομος μὲν φάλαγξ καλεῖται ἡ τοὺς
(34) ἡμίσεας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ
2 σφῶν ἔχουσα, ὡς ἀντινώτους εἶναι· διφαλαγγία δὲ
ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς ἡγεμόνας ἔχει ἐξ
ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους, τοὺς
μὲν ἐν δεξιᾷ παραγωγῇ, τοὺς δὲ ἐν εὐωνύμῳ, τοὺς δὲ
οὐραγοὺς ἔσω τεταγμένους· ἀντίστομος δὲ διφαλαγ-
γία, ἢ τοὺς μὲν ἡγεμόνας ἔχει μέσους τεταγμένους, τοὺς
68 Bl. δὲ οὐραγοὺς ἔξω τετραμμένους ἐξ ἑκατέρων τῶν μερῶν
3 ἐν παραγωγαῖς. ἑτερόστομος δὲ φάλαγξ ἐστὶν ἡ τὸ
μὲν ἡγούμενον ἥμισυ ἐν τῇ πορείᾳ ἔχουσα ἐν εὐωνύμῳ
παραγωγῇ, τοῦτ᾿ ἔστι τοὺς ἡγεμόνας ἐξ εὐωνύμου, τοῦ δὲ
λοιποῦ ἡμίσεος τῆς φάλαγγος τοὺς ἡγεμόνας ἐν δεξιᾷ
4 παραγωγῇ. ὁμοιόστομος δ᾿ ἐν τῇ πορείᾳ διφαλαγγία
ἐστίν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν
αὐτῶν μερῶν ἔχει τεταγμένους, ἢ ἐκ τῶν δεξιῶν ἢ ἐκ τῶν
5 εὐωνύμων ἑκατέρας τῆς φάλαγγος. ὅταν δὲ ἡ ἀμφί-
(35) στομος διφαλαγγία τὰ μὲν ἡγούμενα πέρατα συνάψῃ,
τὰ δὲ ἑπόμενα διαστήσῃ, τὸ τοιοῦτον ἔμβολον κα-
6 λεῖται. ἐπὰν δὲ ἡ ἀντίστομος διφαλαγγία τὰ μὲν ἑπό-
69 Bl. μενα πέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ, τὸ τοι-
7 όνδε κοιλέμβολον καλεῖται. πλαίσιον δὲ ὀνομάζεται
(36) ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἐν ἑτε-
8 ρομήκει σχήματι· πλινθίον δέ, ὅταν ἐν τετραγώνῳ
σχήματι ταὐτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλ-
70 Bl. λου πλαίσιον ἰσόπλευρον καλεῖ. καὶ ὑπερφαλάγγη-
(37) σιν μὲν ὀνομάζουσι τὴν καθ᾿ ἑκάτερον τὸ πέρας τῆς
9 φάλαγγος ὑπεροχὴν ὑπὲρ τοὺς [illegible]λ[illegible]μίους, ὑπερκέρασιν
δὲ τὴν καθ᾿ ἓν ὁπότερον οὖν [illegible]. καὶ τῇ ἐν ὑπερ-
φαλαγγήσει ἡ ὑπερκέρασις ἑπομ[illegible] [illegible]παλιν δὲ

οὔ. οὕτω τοι κέρᾳ μὲν ὁποτέρῳ οὖν ὑπερέχειν καὶ 10
ἐλάσσους κατὰ πλῆθος δυνατόν, καὶ ἐν ἴσῳ βάθει φυ-
λάσσοντας τὴν πᾶσαν τάξιν· ὑπερφαλαγγῆσαι δὲ ἐν ἴσῳ
τῷ πλήθει ἢ καὶ μείονι, μὴ ἐπὶ λεπτὸν ἐπεκτείναντα, 71 Bl.
οὐχ οἷόν τε.

αἱ δὲ τῶν σκευοφόρων ἀγωγαὶ σὺν ἡγεμόνι γι- 30
γνέσθων. τρόποι δὲ αὐτῶν πέντε· ἢ γὰρ ἡγεῖσθαι αὐτὰ[38]
χρὴ τῆς στρατιᾶς σὺν οἰκείᾳ φυλακῇ, ἢ ἕπεσθαι, ἢ ἐκ
πλαγίου ἰέναι — καὶ τοῦτο διssόν· ἢ γὰρ ἐκ δεξιῶν, ἢ ἐξ
ἀριστερῶν —, ἢ ἐντὸς τῶν ὅπλων ἄγεσθαι. πρὸ μὲν δὴ 2
τῆς φάλαγγος χρὴ ἄγειν τὰ σκευοφόρα, ἐπειδὰν ἐκ πο-
λεμίας ἀπάγῃς· ἑπόμενα δὲ τῇ φάλαγγι, ἐπειδὰν ἐς πο-
λεμίαν ἐμβάλλῃς· παράγειν δὲ ἐν ὁποτέρᾳ οὖν, ἐπειδὰν τὰ
πλάγια φοβώμεθα· ἐντὸς δὲ τῆς φάλαγγος, ἐὰν τὰ παν-
ταχόθεν ὕποπτα ᾖ.

τὰ δὲ παραγγέλματα χρὴ συντομώτατά τε ὡς οἷόν 31
τε καὶ σαφέστατα ποιεῖσθαι. ἔσται δὲ τοῦτο, εἰ ὅσα ἂν[39]
ἀμφιβόλως δέξασθαι δυνατοὶ ὦσιν οἱ στρατιῶται, ταῦτα
φυλασσόμεθα. αὐτίκα εἰ κλῖνον λέγοις προσ- 2
τιθεὶς τὸ ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα, οἱ ὀξέως κατα-
κούειν εἰθισμένοι τῶν παραγγελμάτων ἄλλοι ἄλλο δε-
ξάμενοι ἔπραξαν. οὔκουν ὧδε χρὴ λέγειν κλῖνον ἐπὶ
δόρυ ἢ κλῖνον ἐπ' ἀσπίδα, ἀλλ' ἀναστρέψαντα 72 Bl.
ἐπὶ δόρυ κλῖνον ἢ ἐπ' ἀσπίδα κλῖνον· οὕτω γὰρ
σύμπαντες τὸ αὐτὸ ἀκούσονταί τε καὶ δράσουσιν. οὔκ- 3
ουν οὐδὲ μεταβαλοῦ ἢ ἐξέλιξον χρὴ παραγγέλ-
λειν· ταῦτα γὰρ τοῦ γένους τὴν πρᾶξιν δηλοῦντα ἐπὶ
διάφορα ἔργα ἄξει τοὺς ἀκούοντας. ἀλλὰ τὰ εἴδη γὰρ
προτακτέον πρὸ τῶν γενῶν, οἷον ἐπὶ δόρυ μεταβα-
λοῦ ἢ ἐπ' ἀσπίδα. καὶ αὖ ὧδε ἐροῦμεν τὸν Λά- 4
κωνα ἐξέλισσε, ἢ τὸν χόριον, ἢ τὸν Μακε-
δόνα. εἰ δὲ μὴ προσθεὶς ὅντινα, αὐτὸ μόνον ἐξέλισσε

5 *φαίης, ἄλλοι ἐπ' ἄλλον ἐξελιγμὸν ἥξουσιν. οὐδὲν δὲ ὡσ-*
(40) *αύτως ἀγαθὸν ἔν τε πορείαις καὶ ἐν μάχαις ὡς σιγὴ τοῦ παντὸς στρατεύματος. καὶ τοῦτό γε καὶ Ὅμηρος ἐν τῇ ποιήσει ἐδήλωσεν· περὶ μὲν γὰρ τῶν ἡγεμόνων τῶν Ἑλλήνων φησίν*

'κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων',

περὶ δὲ τῆς στρατιᾶς

'οἱ δ' ἄλλοι ἀκὴν ἴσαν (οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν)
σιγῇ δειδιότες σημάντορας.'

τῶν δὲ δὴ βαρβάρων τὴν ἀταξίαν δηλῶσαι ἐθελήσας,
73 Bl. *κλαγγῇ καὶ ἐνοπῇ φησὶν ἰέναι τοὺς Τρῶας ἴσα καὶ ὄρ-*
6 *νιθας. καὶ αὖ ἐν ἄλλοις ἔπεσι*

'τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν' φησίν 'ἔθνεα πολλά,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων'.

καὶ ἐπεξελθὼν τῶν ὀρνίθων τὸν θόρυβον

'ὣς Τρώων ἀλαλητός' φησίν 'ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς.'

ὑπὲρ δὲ τῶν Ἑλλήνων

'οἳ δ' ἄρ' ἴσαν σιγῇ' φησίν 'μένεα πνείοντες Ἀχαιοί,
ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισιν.'

οὕτω γὰρ οἱ μὲν ἡγεμόνες ὀξέως παραγγελοῦσιν, ἡ δὲ στρατιὰ ὀξέως δέξεται τὰ ἐνδιδόμενα.

32 *τὰ παραγγέλματα δὲ ἔστω τοιάδε. ἄγε ἐς τὰ*
(41) *ὅπλα. ὁ ὁπλοφόρος ἀπίτω ἀπὸ τῆς φάλαγγος. σίγα καὶ πρόσεχε τῷ παραγγελλομένῳ. ἄνω τὰ δόρατα. κάθες τὰ δόρατα. ὁ οὐραγὸς τὸν λόχον ἀπευθυνέτω. τήρει τὰ διαστήματα. ἐπὶ δόρυ κλῖνον. ἐπ' ἀσπίδα κλῖνον. πρόαγε. ἐχέτω οὕτως. ἐς ὀρθὸν ἀπόδος. τὸ βάθος διπλασίαζε, ἀποκατάστησον. τὸν Λάκωνα ἐξέλισσε,*

ἀποκατάστησον. ἐπὶ δόρυ ἐκπερίσπα, ἀπο- 74 Bl.
κατάστησον.

τάδε μέν, ὥσπερ ἐν τέχνῃ, δι' ὀλίγων ἐδήλωσα 2
ἱκανὰ ὑπέρ γε τῶν πάλαι Ἑλληνικῶν τε καὶ Μακεδο- (42)
νικῶν τάξεων, ὅστις μηδὲ τούτων ἀπείρως ἐθέλοι ἔχειν·
ἐγὼ δὲ τὰ ἱππικὰ γυμνάσια, ὅσα Ῥωμαῖοι ἱππῆς γυ- 3
μνάζονται, ἐν τῷ παρόντι ἐπεξελθών, ὅτι τὰ πεζικὰ ἔφθην
δηλῶσαι ἐν τῇ συγγραφῇ ἥντινα ὑπὲρ αὐτοῦ τοῦ βασι-
λέως συνέγραψα, τέλος ποιήσομαι τοῦ λόγου τοῦ
τακτικοῦ.

καίτοι οὐκ ἀγνοῶ χαλεπὴν ἐσομένην τὴν δήλωσιν 33
τῶν ὀνομάτων ἑκάστων, ὅτι οὐδὲ αὐτοῖς Ῥωμαίοις τὰ 75 Bl.
πολλὰ τῆς πατρίου φωνῆς ἔχεται ἀλλ' ἔστιν ἃ τῆς Ἰβή-
ρων ἢ Κελτῶν, ἐπεὶ τὰ πράγματα αὐτὰ Κελτικὰ ὄντα
προσέλαβον, εὐδοκιμήσαντος αὐτοῖς ἐν ταῖς μάχαις τοῦ
Κελτῶν ἱππικοῦ. εἰ γάρ τοι ἐπ' ἄλλῳ τῳ, καὶ ἐπὶ τῷδε 2
ἄξιοι ἐπαινεῖσθαι Ῥωμαῖοι, ὅτι οὐ τὰ οἰκεῖα καὶ πά-
τρια οὕτω τι ἠγάπησαν, ὡς τὰ πανταχόθεν καλὰ ἐπι-
λεξάμενοι οἰκεῖα σφίσιν ἐποιήσαντο. οὕτω τοι εὕροις 3
ἂν καὶ ὁπλίσεις τινὰς παρ' ἄλλων λαβόντας — καὶ ἤδη
Ῥωμαϊκαὶ ὀνομάζονται, ὅτι κράτιστα Ῥωμαῖοι αὐταῖς
ἐχρήσαντο —, καὶ γυμνάσια στρατιωτικὰ παρ' ἄλλων, καὶ
θρόνους τοὺς τῶν ἀρχόντων καὶ ἐσθῆτα τὴν περιπόρφυ-
ρον. οἳ δὲ καὶ θεοὺς αὐτοὺς ἄλλους παρ' ἄλλων λαβόντες 4
ὡς οἰκείους σέβουσιν. τὰ γοῦν ἐπ' αὐτοῖς δρώμενα ἐς
τοῦτο ἔτι τὰ μὲν Ἀχαιῶν νόμῳ δρᾶσθαι λέγεται, τὰ δὲ
κοινῷ Ἑλλήνων. δρᾶται δὲ ἔστιν ἃ καὶ Φρύγια· καὶ
γὰρ ἡ Ῥέα αὐτοῖς ἡ Φρυγία τιμᾶται ἐκ Πεσσινοῦντος ἐλ-
θοῦσα, καὶ τὸ πένθος τὸ ἀμφὶ τῷ Ἄττῃ Φρύγιον ὂν ἐν Ῥώ-
μῃ πενθεῖται, καὶ τὸ λουτρὸν δ' ἡ Ῥέα, ἀφ' οὗ τοῦ πέν-
θους λήγει, Φρυγῶν νόμῳ λοῦται. καὶ μὴν τῶν 5
νόμων, οὓς ἐν ταῖς δώδεκα δέλτοις τὰ πρῶτα ἐγράψαντο, 76 Bl.

6 τοὺς πολλοὺς εὕροις ἂν παρ' Ἀθηναίων λαβόντας. καὶ
ταῦτα πολὺ ἂν ἔργον εἴη ἐπεξιέναι, ὅπως τε ἕκαστα ἔχουσι
(43) καὶ παρὰ τίνων προσποιηθέντα· ἐμοὶ δὲ ὑπὲρ τῶν γυ-
μνασίων τῶν ἱππικῶν ὥρα ἤδη λέγειν.

34 τὸ μὲν χωρίον, ἵναπερ τὰ γυμνάσια αὐτοῖς τελεῖται,
οὐχ ὁμαλὸν ἐπιλέγονται μόνον, ἀλλ' ἐς τοσόνδε προσ-
εξεργάζονται, ὥστε σκάπτειν τε τὸ μέσον αὐτοῦ ἐς βάθος
σύμμετρον καὶ τὰς βώλους συγκόπτειν ἐς λεπτότητά τε
καὶ μαλθακότητα, ἀποτεμνόμενοι τοῦ παντὸς πεδίου τὸ
2 πρὸ τοῦ βήματος ἐς πλαισίου ἰσοπλεύρου σχῆμα. αὐ-
77 Bl. τοὶ δὲ ὡπλισμένοι παριᾶσι κράνεσι μὲν σιδηροῖς ἢ χαλ-
κοῖς κεχρυσωμένοις, ὅσοι κατ' ἀξίωσιν αὐτῶν διαπρε-
πεῖς ἢ καθ' ἱππικὴν διαφέροντες, ὡς καὶ αὐτῷ τούτῳ
3 ἐπάγειν ἐπὶ σφᾶς τῶν θεωμένων τὰς ὄψεις. τὰ κράνη
δὲ ταῦτα οὐ καθάπερ τὰ ἐς μάχην πεποιημένα πρὸ τῆς
78 Bl. κεφαλῆς καὶ τῶν παρειῶν προβέβληται μόνον, ἀλλ'
ἴσα πάντῃ τοῖς προσώποις πεποίηται τῶν ἱππέων, ἀνεῳ-
γότα κατὰ τοὺς ὀφθαλμούς, ὅσον μὴ ἐπίπροσθεν τοῦ ὁρᾶν
4 γιγνόμενα σκέπην παρέχειν τῇ ὄψει. χαῖται δὲ ἀπήρ-
τηνται αὐτῶν ξανθαί, οὐκ ἐπὶ χρείᾳ μᾶλλόν τι ἢ ἐς
κάλλος τοῦ ἔργου· καὶ αὗται ἐν ταῖς ἐπελάσεσιν τῶν
ἵππων, εἰ καὶ ὀλίγη πνοὴ τύχοι, ἡδίους φαίνονται
5 ἀπαιωρούμεναι. καὶ θυρεοὺς δὲ φέρουσιν, οὐχ
οὕσπερ ἐς τὰς μάχας, ἀλλὰ τῷ βάρει κουφοτέρους,
ἅτε ἐπ' ὀξύτητι καὶ κάλλει τὰς μελέτας ποιούμενοι,
79 Bl. καὶ ἐς ἡδονὴν πεποικιλμένους· ἀντὶ δὲ τῶν θωράκων
6 Κιμμερικὰ χιτώνια, ἴσα καὶ ὅμοια τοῖς θώραξιν,
τὴν δὲ χρόαν οἳ μὲν κόκκου, οἳ δὲ ὑακίνθου, οἳ δὲ
7 ἄλλῃ καὶ ἄλλῃ πεποικιλμένα· ἀναξυρίδας δὲ περὶ
τοῖν σκελοῖν, οὐ καθάπερ Παρθυαῖοι καὶ Ἀρμένιοι κε-
8 χαλασμένας, ἀλλὰ προσεσφιγμένας τοῖν σκελοῖν. ἵπ-
ποι δὲ αὐτοῖς προμετωπιδίοις μὲν ἐς ἀκρίβειαν πεφραγ-

μένοι εἰσί, παραπλευριδίων δὲ οὐδὲν δέονται· ἀσίδηρα
γὰρ ὄντα τὰ ἐπὶ τῇ μελέτῃ ἀκόντια τοὺς μὲν ὀφθαλμοὺς
τῶν ἵππων κακόν τι ἂν ἀπεργάσαιτο, ταῖς πλευραῖς
δὲ αὐτῶν ἄλλως τε καὶ τοῖς ἐφιππίοις τὸ πολὺ μέρος
σκεπομέναις ἀβλαβῆ προσπίπτει.

πρῶτον μὲν δὴ ἐπέλασις αὐτοῖς ἐς τὸ ἀποδεδειγμένον 35
πεδίον γίγνεται ὡς διαπρεπέστατα ἐς κάλλος καὶ λαμπρό- (44)
τητα ἠσκημένη, ὁπόθεν ἂν μάλιστα ἐκ τοῦ ἀφανοῦς ἐξε-
λαύνειν δόξειαν καὶ μὴ ἁπλῆν ἀλλ' ὡς ἔνι ποικίλην
τὴν ἐκδρομὴν ποιεῖσθαι. σημείοις δὲ διακεκριμένοις 2
ἐπελαύνουσιν, οὐ τοῖς Ῥωμαϊκοῖς μόνον ἀλλὰ καὶ τοῖς 80 Bl.
Σκυθικοῖς, τοῦ ποικιλωτέραν τε καὶ ἅμα φοβερωτέραν
γίγνεσθαι τὴν ἐπέλασιν. τὰ Σκυθικὰ δὲ σημεῖά ἐστιν 3
ἐπὶ κοντῶν ἐν μήκει συμμέτρῳ δράκοντες ἀπαιωρούμε-
νοι. ποιοῦνται δὲ ξυρραπτοὶ ἐκ ῥακῶν βεβαμμένων, τάς
τε κεφαλὰς καὶ τὸ σῶμα πᾶν ἔστε ἐπὶ τὰς οὐρὰς εἰκασμέ-
νοι ὄφεσιν, ὡς φοβερώτατα οἷόν τε εἰκασθῆναι. καὶ τὰ
σοφίσματα ταῦτα. ἀτρεμούντων μὲν τῶν ἵππων οὐδὲν 4
πλέον ἢ ῥάκη ἂν ἴδοις πεποικιλμένα ἐς τὸ κάτω ἀποκρε-
μάμενα, ἐλαυνομένων δὲ ἐμπνεόμενα ἐξογκοῦται, ὥστε
ὡς μάλιστα τοῖς θηρίοις ἐπεοικέναι, καί τι καὶ ἐπισυρί-
ζειν πρὸς τὴν ἄγαν κίνησιν ὑπὸ τῇ πνοῇ βιαίᾳ διερχο- 81 Bl.
μένῃ. καὶ ταῦτα τὰ σημεῖα οὐ τῇ ὄψει μόνον ἡδονὴν ἢ 5
ἔκπληξιν παρέχει, ἀλλὰ καὶ ἐς διάκρισιν τῆς ἐπελάσεως
καὶ τὸ μὴ ἐμπίπτειν ἀλλήλαις τὰς τάξεις ὠφέλιμα γίγνε-
ται. οἱ μὲν γὰρ φέροντες αὐτά, οἱ δαημονέστατοι τῶν 6
ἐξελιγμῶν τε καὶ ἐπιστροφῶν, ἐς ἄλλους καὶ ἄλλους κύ-
κλους ἢ ἄλλας καὶ ἄλλας ἐπ' εὐθὺ ἐκδρομὰς ἐπιλέγον-
ται, τὸ δὲ πλῆθος οὐδὲν ἄλλο μεμελέτηκεν, ὅτι μὴ ἕπε-
σθαι τῷ οἰκείῳ ἕκαστοι σημείῳ. καὶ οὕτω ποικίλαι 7
μὲν αἱ ἐπιστροφαί, πολυειδεῖς δὲ οἱ ἐξελιγμοί,
πολύτροποι δὲ ἄλλῃ καὶ ἄλλῃ αἱ ἐπελάσεις γιγνόμεναι

ἀσυγχύτους ὅμως τὰς τάξεις παρέχονται. συνενεχθὲν δὲ
σημεῖον σημείῳ ἢ ἵππος ἵππῳ ἐμπεσὼν ἀναταράξειεν ἂν
τὴν πᾶσαν τάξιν καὶ οὐ τὸ κάλλος μόνον ἀλλὰ καὶ τὴν
χρείαν διαφθείρειε τοῦ ἔργου.
36 ὁμοῦ δὲ ἥ τε ἐπέλασις αὐτοῖς ἀποπαύεται καὶ κατὰ
τὰ ἀριστερὰ τοῦ βήματος ὑπομένουσιν ἐπάλληλοι ἱππῆς,
τὰς μὲν κεφαλὰς τῶν ἵππων ἐς τοὐπίσω ἀποστρέψαντες,
τοὺς θυρεοὺς δὲ πρὸ τῶν νώτων τῶν σφετέρων καὶ πρὸ
τῶν ἱππείων νώτων προβεβλημένοι. καὶ ἡ τάξις αὕτη,
82 Bl. καθάπερ ὁ συνασπισμὸς τῶν πεζῶν, χελώνη ὀνομάζεται.
2 δύο δὲ ἱππῆς, τοῦδε τοῦ στοίχου διέχοντες ὅσον ἐκ-
δρομὰς παρέχειν τοῖς φιλίοις ἱππεῦσι, προβέβληνται πρὸ
τοῦ δεξιοῦ κέρως τῆς χελώνης, τοῦ ἐκδέχεσθαι τοὺς ἐξα-
3 κοντισμοὺς τῶν ἐπ' εὐθὺ ἐπελαυνόντων. οὕτω μὲν οἱ
ἡμίσεες τῶν ἱππέων πεφραγμένοι ἵστανται ἐς προβολήν·
ἐπὰν δὲ σημήνῃ τῇ σάλπιγγι, οἱ ἡμίσεες αὖ ἐπελαύνου-
σιν, ὡς πλεῖστα καὶ συνεχέστατα ἀκόντια ἐξακοντίζον-
τες, πρῶτος ὁ πρῶτος κατ' ἀρετήν, καὶ ἐπὶ τούτῳ ὁ δεύ-
4 τερος, καὶ οἱ ἐφεξῆς ὡσαύτως. τὸ δὲ κάλλος τοῦ δρωμέ-
νου ἐν τῷδε ἐστίν, ὅστις ὅτι πλεῖστα καὶ συνεχέστατα
ἀκόντια, ὀρθῷ ἐπελαύνων τῷ ἵππῳ, ἐς τοὺς δύο τοὺς
προβεβλημένους πρὸ τοῦ [ἀριστεροῦ] κέρως τῆς χελώνης
κατὰ αὐτῶν τῶν ὅπλων ὡς μάλιστα τύχοι ἀκοντίσας.
5 ἐπελάσαντες δὲ ἐπ' εὐθύ, ἐγκλίνουσιν αὖ ἐς τὰ πλά-
83 Bl. για, ὡς ἐς κύκλον ἐπιστρέφοντες. ἡ ἔγκλισις δὲ αὐτοῖς
6 ἐπὶ τὰ δεξιὰ σφῶν γίγνεται· οὕτω γὰρ τῷ τε ἀκοντί-
ζειν οὐδὲν ἐμποδὼν ἵσταται, καὶ οἱ θυρεοὶ προβέβλην-
ται πρὸ τῶν ἀκοντιζόντων ἐν τῇ ἐπελάσει.
37 καὶ χρὴ τοσαῦτα φέρειν ἀκόντια, ὡς διὰ πάσης τῆς
προβολῆς ἐξακοντίζειν παριππεύοντα. καὶ τοῦ τε ἀκρο-
βολισμοῦ τὸ συνεχὲς καὶ τοῦ κτύπου τὸ ἀνέκλειπτον ὥσ-
2 περ τι ἄλλο ἐκπληκτικὸν φαίνεται. μεταξὺ δὲ δὴ τοῦ

τε δεξιοῦ κέρως τῆς τάξεως καὶ τῆς προβολῆς τοῖν δυοῖν
ἱππέοιν ἐκ τοῦ ἀφανοῦς ἱππῆς ἐκθέουσι, προϊππεύον-
τες μὲν τῆς οἰκείας τάξεως, ἀκοντίζοντες δὲ ἐς τοὺς
παριππεύοντας. καὶ τούτοις ἐπ' ἀσπίδα ἡ ἔγκλισις
γίγνεται, καὶ ταύτῃ ἀφρακτότεροι παριππεύουσιν.
ἔνθα δὴ καὶ μάλιστα ἀγαθοῦ δεῖ ἱππέως, ὡς ὁμοῦ 3
μὲν ἐξακοντίζειν δυνατός τε γίγνηται ἐς τοὺς ἐπελαύ-
νοντας, ὁμοῦ δὲ σκέπειν τὴν δεξιὰν πλευρὰν τῇ προβολῇ
τοῦ ὅπλου. καὶ ἐν μὲν τῇ παρελάσει ὁ κατὰ δεξιὰν 4
ἐπιστροφὴν ἀκοντισμὸς ἀναγκαῖος αὐτῷ γίγνεται, ἐν δὲ 84 Bl.
τῇ παντελεῖ ἐπιστροφῇ ὁ πέτρινος δὴ ὀνομαζόμενος τῇ
Κελτῶν φωνῇ, ὅς ἐστι πάντων χαλεπώτατος. χρὴ γὰρ 5
ἐπιστραφέντα, ὅσῃ δύναμις μαλθακαῖν ταῖν πλευραῖν, ἐς
τὸ κατ' οὐρὰν τοῦ ἵππου ὡς ἔνι μάλιστα εὐθὺ ἐς τοὐ-
πίσω ἀκοντίσαι, καὶ τοῦτο δράσαντα ὀξέως αὖ ἐπιστρέ-
ψαντα κατὰ νώτου βαλεῖν τὸ ὅπλον, ὅτι τὰ γυμνὰ οὕτω
γε παραδίδοται τοῖς πολεμίοις, εἰ ἄνευ προβολῆς ἐπι-
στρέψειεν.

ὁμοῦ δὲ ἥ τε ἐπέλασις ἤδη ἀποπαύεται καὶ οἱ πρό- 38
σθεν ἐπελάσαντες ἐν τάξει αὖ ἵστανται ἐπὶ δεξιᾷ τοῦ βή-
ματος, καθάπερ οἱ ἄλλοι ἐν ἀριστερᾷ, καὶ οἱ δύο ἱππῆς 85 Bl.
διέχοντες ἀπὸ τοῦ κέρως τῆς προβολῆς τὸ ἴσον ἵστανται,
καὶ αὖ οἱ μεταξὺ αὐτοῖν τε τούτοιν καὶ τῆς πάσης τάξεως
ἐκθέοντες ἐς τὸν αὐτὸν τρόπον ἐξακοντίζουσιν ἐς τοὺς
παριππεύοντας. ἔνθα δὴ ὅ τι περ κράτιστον τῶν ἱπ-
πέων ἐς τόνδε τὸν ἀκροβολισμὸν ἐπιλέγονται. οἱ μέν 2
γε ἀπὸ τῶν δεξιῶν [τοῦ βήματος] ἀρχόμενοι οὐδὲν ἄλλο
ἢ τὸ συνεχὲς τῆς ἀκροβολίσεως καὶ τὸ ἐπάλληλον τοῦ
κτύπου παρέχονται· οὐδὲ γὰρ ἄλλου τινὸς θέαν παρ-
έχουσι τοῖς ἐπὶ τοῦ βήματος ὁρῶσιν, ἅτε ἀποστρόφου
ἀπ' αὐτῶν τῆς δεξιᾶς τῶν ἱππέων ἐν τῇ τοιᾷδε ἐπελάσει 86 Bl.
γιγνομένης. ὁπότε δὲ ἐκ τῶν ἀριστερῶν ἐπελαύνοιεν, 3

τότε δὴ πᾶς ὁ ἀκροβολισμὸς ἀρίδηλος γίγνεται, καὶ τῶν
θυρεῶν ἡ προβολή, καὶ ἡ ἐκ τῆς ἀριστερᾶς χειρὸς ἐς τὴν
δεξιὰν ὕφεσις τῶν ἀκοντίων ὀξεῖα, καὶ ἡ δεξιὰ ὅπως
αὐτὰ ὑπολαβοῦσα καὶ ὑπὲρ τῆς κεφαλῆς περιενεγκοῦσα
ὥσπερ ἐν τροχοῦ περιδινήσει ὁμοῦ μὲν ἐξηκόντισεν,
ὁμοῦ δὲ ὑπέλαβεν τὸ λειφθέν, καὶ τοῦτο αὖ ὑπερενεγ-
κοῦσα ἐξηκόντισεν.*** ἥ τε καθέδρα ἡ ἐπὶ τοῦ ἵππου
αὐτοῦ τοῦ ἱππέως ἀεὶ εὐσχήμων καὶ ὀρθὴ ἐν τῷ ἀκροβο-
λισμῷ σῴζεται, καὶ ταύτῃ μᾶλλον, ὅτι ἐπελαυνόντων ὁρᾶ-
ται καὶ τῶν ὅπλων ἡ λαμπρότης καὶ τῶν ἵππων ἡ ὠκύ-
της τε καὶ τὸ ἐν ταῖς ἐπιστροφαῖς εὐκαμπές*** καὶ ὅπως
ἐν ἴσοις τοῖς διαστήμασιν αἱ ἐπελάσεις γίγνονται τῶν
4 ἱππέων. αἱ μέν γε ἐπὶ μέγα διαλιποῦσαι αὐτῷ τούτῳ
87 Bl. τὸ συνεχὲς τοῦ ἀκροβολισμοῦ ἀφανίζουσιν, αἱ δὲ ἄγαν
ἐπάλληλοι τῇ ἀκριβείᾳ τῆς θεωρίας ἐμποδὼν ἵστανται
τὸ δίκαιον αὐτῆς ἀφαιρούμεναι· τόν τε γὰρ ἀγαθὸν ἱπ-
πέα ἐγγὺς αὐτῷ ἐπελαύνων ὁ κακὸς ἤδη ἠφάνισεν, καὶ
τοῦ κακοῦ ἄλλος αὖ ἀγαθὸς εὐσχημόνως ἐπιφερόμενος
5 τὴν ἀπρέπειαν συνεσκίασεν. ἀλλὰ χρὴ τοῦ συνεχοῦς
σῳζομένου τόν τε ἔπαινον τῷ ἀγαθῷ σῷον εἶναι καὶ
πρέποντα, καὶ τῷ κακῷ τὸ ὀφειλόμενον ὄνειδος ἀποδί-
δοσθαι.

39 δὶς δὲ ἀμείψαντες τὰς τάξεις τε καὶ τὰς προβολὰς
καὶ τοὺς ἀκροβολισμούς τε καὶ τὰς ἐπιστροφάς, ἐπειδὰν
τὴν δευτέραν τε καὶ ἀριστερὰν ἐπέλασιν ποιῶνται, οὐχ
88 Bl. ἁπλῶς ἐγκλίναντες ἐπὶ δόρυ καὶ παρὰ τὸ βῆμα παρελά-
σαντες τοὺς ἵππους ἀπαλλάσσονται, ἀλλ' οἱ ὀξύτατοι αὐ-
τῶν ἐς τὸ ἔργον ὑπολείπονταί σφισιν ἓν ἕκαστος ἀκόν-
2 τιον, οἱ δὲ ἄκροι καὶ δύο. καὶ ἐπειδὰν πελάσωσι τῷ
βήματι παριππεύοντες, ἐς κύκλον μὲν ἐπέστρεψαν τὸν
ἵππον, ἔτι δὲ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ ἔχοντες ἐπὶ τὸ πέ-
89 Bl. ρας τοῦ πεδίου λοξὸν ἠκόντισαν, καὶ τοῦτο ὡς ἐπὶ μή-

κιστόν τε καὶ ὡς μάλιστα κραδαινόμενον χρὴ ἐξικέσθαι.
οἳ δὲ καὶ δύο ὑπολειπόμενοι ἐπειδὰν ἐπελάσωσιν, ἤδη 3
τὸ ὑπολειφθὲν ὑπὸ τὸν θυρεὸν ἐγκλίναντες ὀλίγον τὴν
κεφαλὴν καὶ τὴν δεξιὰν πλευράν, ὡς ἀνυστόν, περι-
ελίξαντες ἐς τοὐπίσω σφῶν ἐξηκόντισαν.
ἐπὶ τούτῳ δὲ Κανταβρική τις καλουμένη ἐπέλα- 40
σις γίγνεται, ὡς δοκεῖν ἔμοιγε ἀπὸ Καντάβρων Ἰβηρικοῦ(45)
γένους τοῦτο ὀνομασθεῖσα, ὅτι ἐκεῖθεν αὐτὴν προσεποίη-
σαν σφίσι Ῥωμαῖοι. ἔχει δὲ ὧδε. ἡ προβολὴ μὲν ἡ 2
τῶν ἱππέων, καθάπερ ἐξ ἀρχῆς, ἐν ἀριστερᾷ τοῦ βήμα- 90 Bl.
τος πεφραγμένη ἐκτέτακται, πλήν γε δὴ τῶν δύο ἱππέων
τῶν ἐκδεχομένων τὰ ἐπ' εὐθὺ ἀκόντια. ἐπελαύνουσι 3
δὲ ἀπὸ τῶν δεξιῶν ὥσπερ καὶ τὸ πρόσθεν ἐγκλίνοντες
ἐπὶ δόρυ, ἐπελαυνόντων δὲ αὐτῶν ἐν ἀριστερᾷ τοῦ
βήματος ἀρξαμένη ἄλλη ἐπέλασις γίγνεται ἐς κύκλον
ἐπιστρέφουσα. οἱ δὲ ἱππῆς οὗτοι οὐκ ἀκοντίοις κού- 4
φοις διαχρῶνται ἔτι, ἀλλὰ ξυστοῖς δόρασιν, ἀσιδήροις
μέν, τῷ βάρει δὲ οὔτε τοῖς ἐξακοντίζουσιν εὐφόροις,
οὔτε ἐφ' οὓς ἐκπέμπεται ἀκινδύνοις. καὶ ἐπὶ τῷδε 5
παραγγέλλεται μήτε τοῦ κράνους στοχάζεσθαι τῶν παρ-
ιππευόντων μήτε ἐς τὸν ἵππον τὸ δόρυ μεθιέναι, ἀλλὰ
γὰρ πρὶν ἐγκλῖναι τὸν ἱππέα καὶ παραγυμνῶσαί τι τῆς
πλευρᾶς ἢ ἐκφῆναι τοῦ νώτου ἐπιστραφέντα, αὐτοῦ δὴ
τοῦ θυρεοῦ στοχαζόμενον ὡς βιαιότατα ἐναράξαι τὸ δόρυ.
καὶ τὸ ἀκριβὲς τοῦδε τοῦ ἔργου ἐν τοῖσδ' ἐστίν, εἰ ὡς 6
ἐγγυτάτω τοῖς παριππεύουσι πελάσας ὁ ἐς τὸν Καντα-
βρικὸν τοῦτον κύκλον καθεστηκὼς ὡς μάλιστα κατὰ μέ-
σου τοῦ θυρεοῦ τὸ δόρυ ἐξακοντίσειεν, τὸ δ' ἐμπεσὸν 91 Bl.
τῷ θυρεῷ κτυπήσειεν ἢ καὶ διέλθοι δι' αὐτοῦ διαμπάξ,
καὶ ὁ δεύτερος ἐπὶ τούτῳ τοῦ δευτέρου ἐξίκοιτο, καὶ ὁ
τρίτος ὡσαύτως τοῦ τρίτου, καὶ οἱ ἐφεξῆς τῶν ἐφεξῆς
ἐν στοίχῳ κατὰ τὰ αὐτά. ὅ τε γὰρ κτύπος ἀμέλει ἐκ- 7

πληκτικός, καὶ ὁ ἐξελιγμὸς ἐν τῷ τοιῷδε εὐσχήμων φαί-
νεται, καὶ τοῖς μὲν εὐστοχίας τε καὶ σφοδρότητος ἐν τῷ
ἀκοντισμῷ μελέτη γίγνεται, τοῖς δὲ ἀσφαλείας τε καὶ
8 φυλακῆς πρὸς τοὺς ἐπιόντας. ἐπὶ τούτοις δὲ τῆς συνε-
χείας τοῦ ἐξακοντισμοῦ μελέτη τε καὶ ἐπίδειξις ποιεῖται
ἐκ τῶν ἱππέων οὐ πάντων — οὐ γὰρ πάντες ἐπιτήδειοι ἐς
τήνδε τὴν ὀξύτητα —, ἀλλὰ γὰρ ὅσοι αὐτῶν ἄκροι ἐς ἱπ-
9 πικήν. οὗτοι καθιστᾶσι μὲν τοὺς ἵππους, ἐν δεξιᾷ
ἔχοντες ἄκρον τὸ βῆμα, ἐκεῖθεν δὲ ἀτρέμα προϊόντος
τοῦ ἵππου ἔστε ἐπὶ τὴν ὀφρῦν τοῦ ἐσκαμμένου χωρίου,
χρὴ ὡς πλεῖστα καὶ ὡς συνεχέστατα καὶ ὡς ἐπὶ μήκιστόν
τε καὶ ἅμα κραδαινόμενα ἐς τὸ ἀνώμαλον μεθιέναι τὰ
10 ἀκόντια. καὶ ἀγαθὸς μὲν ὅστις πεντεκαίδεκα ἀκόντια
92 Bl. μεθιέναι ὡς χρὴ πρὶν ἐκβῆναι τοῦδε τοῦ χωρίου τὸν ἵπ-
11 πον ἐξήνυσεν. πολὺ δὲ τούτου ἐνδικώτερον ἐπαινοῖτο
ἂν ὅστις καὶ ἐς τὰ εἴκοσι προύβη. ὡς τό γε ὑπὲρ ταῦτα
οὐκέτι τῆς ἀκριβείας ἐχομένων γίγνεται, ἀλλὰ κλεπτόν-
των τὸ πολὺ κατὰ τὴν στάσιν τοῦ ἵππου ἐπὶ πλέον γι-
γνομένην, ὡς ἔτι ἑστηκότος φθάσαι δύο ἢ τρία ἀκοντί-
12 σαι, ἢ ὑπερβάντος τὴν ὀφρῦν τοῦ ἐσκαμμένου. ἀλλ'
ἔγωγε πολὺ μᾶλλον ἐπαινῶ τὸ ἐννόμως δρώμενον ἤπερ
τὸ ἐς ἔκπληξιν τῶν δρώντων σοφιζόμενον.

41 ἐνθένδε ἤδη ὡς ἐς μάχην ὁπλίζονται θώραξί τε σι-
(46) δηροῖς καὶ κράνεσι καὶ θυρεοῖς οὐ τοῖς κούφοις ἔτι.
2 καὶ πρῶτα μὲν αἱ τάξεις σπουδῇ ἐπελαύνουσι τοὺς
ἵππους· μίαν δὲ λόγχην φέροντας, τήνδε πρὶν πελάσαι
τῷ βήματι χρὴ ὡς οἷόν τε κραδαινομένην τε καὶ ἅμα
93 Bl. ἐπανακτυποῦσαν ἐξακοντίσαι τοῦ σκοποῦ στοχαζομέ-
νους, ὃς δὴ ἐν ἀριστερᾷ τοῦ βήματος ἐπ' αὐτῷ τούτῳ
3 τῷ ἔργῳ πέπηγεν. καὶ ὅσοι γε ἀγαθοὶ αὐτῶν, καὶ
δεύτερον ἐπελαύνουσιν οὗτοι καὶ τρ[illegible]ν, οὐ πρὸς
ἀνάγκην ἀλλ' αὐτῷ τῷ ἔργῳ καὶ τῷ ἐξ [illegible]

ἀγαλλόμενοι. ἡ δευτέρα δὲ ἐπέλασις σὺν δυοῖν λόγ- 4
χαιν γίγνεται, καὶ ταύτας χρὴ ἐξακοντίσαι ὀρθῷ ἐπε-
λαύνοντα τῷ ἵππῳ ὡς μάλιστα οἷόν τε ἐπίσκοπα.

ἐπὰν δὲ ἐκπεριέλθῃ καὶ τοῦδε τοῦ ἀκοντισμοῦ τὸ 42
ἑκούσιον, ἐνταῦθα δὴ ὅσοι ἀγαθοὶ στρατιᾶς ἡγεμόνες,
ὀνομαστὶ ἀνακαλεῖσθαι κελεύουσι πάντας ἐφεξῆς τοὺς
ἱππέας, δεκάδαρχον πρῶτον καὶ διμοιρίτην ἐπὶ τούτῳ
καὶ ὅστις ἐν ἡμιολίᾳ μισθοφορᾷ, ἔπειτα τοὺς ἐφεξῆς
τῆς δεκαδαρχίας. καὶ οὕτω διὰ πασῶν τῶν δεκαδαρ-
χιῶν ἡ κλῆσις γίγνεται. τὸν κληθέντα δὲ χρὴ ὁμοῦ μὲν 2
ὑπακοῦσαι τῷ καλοῦντι μεγάλῃ τῇ βοῇ ὅτι 'πάρειμι',
ὁμοῦ δ' ἐξελαύνειν τὸν ἵππον τρεῖς λόγχας φέροντα.
καὶ τὴν μὲν πρώτην ἀπὸ ἄκρου τοῦ χωρίου τοῦ ἐσκαμ-
μένου ἐξακοντίζειν ὡς ἐπὶ τὸν σκοπόν, τὴν δευτέραν 94 Bl.
δὲ ἀπὸ αὐτοῦ τοῦ βήματος, καὶ ταύτην ἔτι ὀρθῷ τῷ
ἵππῳ· τὴν τρίτην δέ, εἰ τὰ ἔννομα καὶ πρὸς τοῦ βασιλέως
τεταγμένα δρῴη, ἐγκλίνοντος ἐπὶ δεξιὰν τοῦ ἵππου, ἐς
τὸν ἄλλον σκοπόν, ὃν ἐπ' αὐτῷ δὴ τούτῳ κατὰ πρόστα-
ξιν τοῦ βασιλέως ἐς ἐκδοχὴν τῆς τρίτης λόγχης ἱστᾶσιν. ἤδ' 3
ἐστιν βολὴ ἡ πασῶν χαλεπωτάτη, εἴ πως πρὶν πάντη
ἀποστραφῆναι τὸν ἵππον, ἐν αὐτῇ ἔτι τῇ ἐπικαμπῇ γί-
γνοιτο. ἡ γὰρ δὴ ξύνημα τῇ Κελτῶν φωνῇ καλουμένη 4
ταύτῃ δὴ ἄφεσις γίγνεται, ἐπείπερ οὐδὲ ἀσιδήρῳ ἀκοντίῳ
εὐμαρὴς ἀκοντίζεσθαι. ἤδη δέ τις ὑπὸ ὀξύτητός τε καὶ
φιλοτιμίας καὶ τέσσαρας λόγχας ὀρθῷ τῷ ἵππῳ ἐπὶ τὸν
πρῶτον σκοπὸν ἐξακοντίσαι ἤνυσεν, ἢ τὰς τρεῖς μὲν
ὀρθῷ τῷ ἵππῳ, τὴν τετάρτην δὲ ἐπιστρέφοντι, ὡς ὁ βα-
σιλεὺς ἔταξεν. ἔνθα δὴ ὅ τε ἀγαθὸς ἀκοντιστὴς καὶ 5
ὁ κακὸς μάλιστα πάντων διαφαίνονται, ἅτε οὐκ ἐν στοίχῳ
ἀδιακρίτῳ οὐδὲ ἐν θορύβῳ δρωμένου τοῦ ἔργου. καὶ
ἥτις ἐπέλασις τοὺς πλείστους παράσχοιτο τῶν λογ-
χῶν τῇ βολῇ διαπρέποντας, ταύτην ἐγὼ μᾶλλον ἤ τινα

INDEX NOMINUM ET RERUM

A *ἔκταξις κατ' Ἀλανῶν*, C(ynegeticus), I(ndica), P(eriplus), T(actica).